ΚΕΚΡΑΓΑΡΙΟΝ



ΤΟΥ

ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΙΠΠΩΝΟΣ

ΒΙΒΛΙΟΝ Β'.

ΤΑ ΜΟΝΟΛΟΓΙΑ

ΥΠΟ

τοῦ Μητροπολίτου Πενταπόλεως

ΝΕΚΤΑΡΙΟΥ



ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΠΑΡ. ΛΕΩΝΗ

1910

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

ΤΑ ΜΟΝΟΛΟΓΙΑ ΤΟΥ ΘΕΙΟΥ ΚΑΙ ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΗΤΟΙ

Ἐντεύξεις ψυχῆς, μόνης μόνῳ τῷ Θεῷ προσδιαλεγομένης

ΚΕΦΑΛΑΙΟΝ Α΄

Ψυχῆς ἀνάτασις πρὸς ἐπίγνωσιν Θεοῦ καὶ ἀγάπησιν αὐτοῦ.

Γνοίην Σε, Κύριε, πάντων τὸν ἐπιγινώσκοντά με·
ὦ Δύναμις τῆς ψυχῆς μου, Σὲ ἐπιγνῶναι ἐθέλω·
Δεῖξόν μοι τὸ πρόσωπόν Σου ὁ Θεῖός μοι Παρακλήτωρ·
Ἴδοιμι Σὲ τὴν πνοήν μου τὸ φάος τῶν ὀφθαλμῶν μου.

—

Χαρὰ ἡ τοῦ Πνεύματός μου ἐλθέ σε καθικετεύω·
Ἴδοιμι Σὲ τῆς καρδίας τερπνότητα Ἰησοῦ μου·
ἵν' ἀγαπήσω Σε, Λόγε, Σὲ τὴν ζωὴν τῆς ψυχῆς μου·
περιπλακοίην Σε πόθῳ, Οὐράνιέ μου Νυμφίε.

—

Ἡ θεία μου χαρμοσύνη ἡ ὑπερέχουσα πᾶσαν,
ἡ θεία μακαριότης, Λόγε, ἀπολαύσαιμέ σου,



ἐμὴ ζωὴ μακαρία ψυχῆς ἐμῆς θυμηδία·
Σὺ εἶ τὸ στερέωμά μου καταφυγή μου καὶ ῥύστης.

—

Σὲ ἀγαπήσω, ὦ Λόγε, τὸν βοηθὸν τὸν Θεόν μου,
τὸν πύργον ἐμῆς ἰσχύος, τὴν γλυκυτάτην ἐλπίδα,
καὶ περιπτύξομαι πόθῳ τὸν ἀγαθὸν μόνον ὄντα
καὶ ἀπολαύσω Σου, Λόγε, τοῦ θείου ὄντως ἀρίστου.

—

Διάνοιξόν μου τὰ ὦτα, Λόγε Θεοῦ Ἰησοῦ μου,
ἵνα ἀκούσω τῆς θείας τῆς με καλούσης φωνῆς Σου.
Ὑψόθεν βρόντησον, Λόγε, ἡ θάλασσα ἠχησάτω,
ἡ πᾶσα γῆ σαλευθήτω, αὐτῆς τὸ πλήρωμα ἅπαν.

—

Καταύγασον δέομαί σου τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς μου·
ὁ φῶς ἀπρόσιτον πέλων ἄστραψον τὴν ἀστραπήν σου
καὶ σκέδασον τὴν ὁμίχλην τῶν ὀφθαλμῶν τῆς ψυ-
[χῆς μου,
ἵνα πρὸς Σὲ ἀτενίζῃ καὶ φεύγῃ μάταιον κόσμον.

—

Ὦ φῶς τὸ ἄρρητον, Λόγε, τὴν ὅρασίν μοι παράσχου,
ὅπως τὸ ἄρρητον κάλλος ἴδω Σοῦ Θείου προσώπου,
καινὴν δὲ ὄσφρησιν δός μοι ὡς εἰς ὀσμήν σου δρα-
[μοῦμαι,
τὴν γεῦσιν ὑγίασόν μου, ἵνα ἐν σοὶ ἀπολαύω.

—

Λελογισμένην καρδίαν, ψυχὴν δὲ Σὲ ἀγαπῶσαν,
φρένα Σε ἀναπολοῦσαν, νοῦν, Λόγε, Σὲ συνιέντα

Σοῦ ἀντεχόμενον δός μοι τοῦ ἐφετοῦ τοῦ Ὑψίστου,
ὅπως θερμῶς ἀγαπῶ Σε λατρεύω δοξολογῶ Σε.

—

Ὦ Ζωή, ἡ ζωὴ τῶν ἁπάντων
ἡ κἀμοὶ τὴν ζωὴν χορηγοῦσα,
δι᾽ ἧς ζῶ καὶ εἰμι καὶ κινοῦμαι,
ἧς τε ἄνευ ἀπόλλυμαι θνήσκω,
δι᾽ ἧς ἥδομαι εὐφραίνομαί τε.
ταύτης δ᾽ ἄνευ ἐγὼ ἀνιῶμαι,
ζωογόνος ζωή μου γλυκεῖα
μνήμη σώζεσθαι ὄντως ἀξία.

—

Ποῦ ποτε εἶ, Χριστέ, γνώρισόν μοι,
δέομαί σου, Σὲ ὅποι εὑρήσω;
ἵν᾽ ἐμοὶ ἐν αὐτῷ γε ἐκλίπω
καὶ ἐγγὺς ὑποστήσωμαι, Λόγε·
Σὺ ἐγγὺς τῇ ψυχῇ μου γενοῦ μοι
τῇ καρδίᾳ καὶ τοῖς χείλεσί μου
τοῖς ὠσί μου πρὸς βοήθειάν μου·
καὶ γὰρ Σὲ ἀγαπήσας ἐκλείπω.

—

Ἡ Σὴ μνήμη πεσόντα ἐγείρει,
ἡ ὀδμή σου ἐμὲ ἀναψύχει,
ἡ ἀνάμνησις δ᾽ ἐπιρρωννύει
καὶ ὁ πόθος σου δὲ κυριεύει.
Ἀλλ᾽ ἡ δόξα σου ἐπὰν ὀφθῇ μοι,
ἡ ζωὴ ἡ πνοὴ τῆς ψυχῆς μου,



χορτασθήσομαι τότε, ὦ Λόγε,
ὅτε ἥξω καὶ ὀφθήσομαί σοι.


Ἵνα τί τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ Σὺ ἀποστρέφεις,
ἡ χαρά μου ἐν ᾗ χαίρω;
ποῦ ὁ κάλλεσι ὡραῖος εἶ κρυπτόμενος, ὦ Λόγε,
οὗ ἐφίετ' ἡ ψυχή μου;
τῆς ἐκ Σοῦ γὰρ εὐωδίας ἀπαρύομαι πνεούσης
καὶ εὐφραίνομαι καὶ χαίρω·
ἀλλὰ οὐχ ὁρῶ Σε, Λόγε· τῆς φωνῆς Σου ναὶ ἀκούω
καὶ ἀναβιώσκω, Λόγε,
ἀλλὰ τί μοι ἀποκρύπτεις Ἰησοῦ τὸ πρόσωπόν Σου;
μὴ ἰδὼν Σε ἀποθάνω;
ἔφησθα γὰρ οὐ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου
καὶ βιώσεται τῆς θέας.
Εἶα, Κύριε, τεθναίην ὡς ἂν ἴδω τὸ Σὸν κάλλος·
ἴδοιμι τὸ πρόσωπόν Σου.
Ζῆν οὐ βούλομαι, αἱροῦμαι τὸ θανεῖν καὶ ἀναλῦσαι
καὶ σὺν Σοὶ Χριστέ μου εἶναι·
τῆς ζωῆς μου παραιτοῦμαι, ἵνα τῷ Χριστῷ συζήσω
αὐτὸν ἐπιδέρξωμαι δέ.
Ἰησοῦ Χριστέ μου δέξαι, ὅπερ ἔδωκάς μοι πνεῦμα,
τὴν ψυχὴν παράλαβέ μου.
Ἡ χαρά μου, ἕλξαι πρός Σε τὴν ποθοῦσάν Σε καρδίαν
ὥσπερ ἔλαφος διψῶσα,
Ἡ γλυκεῖά μου ἡ βρῶσις, ἡ ζωήρρυτός μοι πόσις,
Ἰησοῦ, μετάσχοιμί σου·

Σὺ Χριστὲ εἶ κεφαλή μου, Σὺ κατεύθυνόν με, Λόγε,
Σύ μοι φῶς ἐπίλαμψόν μοι.
Τοὐμὸν μέλος εἶ, Χριστέ μου, δέομαι, ἐνάρμοσόν με,
Λόγε ζωοποίησον με,
Ἰησοῦ, ἀνάκτησόν με, εὔφρανον Σὺ τὴν ψυχήν μου
ἡ ᾠδὴ ἡ αἴνεσίς μου..
Ἡ χαρὰ ἡ Οὐρανία εἴσελθε εἰς τὴν ψυχήν μου,
ἵνα αὕτη ἐν Σοὶ χαίρῃ·
ὦ ἡδύτης ἀκροτάτη γλύκανόν μου τὴν καρδίαν,
ἵνα ἡδυνθῇ τελείως·
λάμψον ἐπ' αὐτῆς τὸ φῶς Σου Ἰησοῦ τὸ πρὸ αἰώνων,
ὡς Σὲ Λόγε ἀγαπήσῃ·
ἕνεκεν γὰρ τῆς ἀγνοίας οὐκ ἠγάπησέ Σε, Λόγε,
ὅτι οὐδὲ ἐννόησέ Σε.
Οὐκ ἐννόησέ Σε αὕτη οὐδ' ἐπέγνωκέ Σε, Λόγε
ὅτι οὔπω ἐφωτίσθη,
Τὸ γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, οὐ κατέλαβε δὲ
ἡ σκοτία τὸ Σὸν φάος.

Σὺ φάος εἶ τὸ νοερὸν ἀλήθεια αὐγάζουσα
ἡ ἀληθὴς μαρμαρυγὴ ἡ ἐρχομένη εἰς τὴν γῆν
καὶ ἅπαντας φωτίζουσα καὶ σκότη ἀπελαύνουσα.

Σὺ φῶς εἶ τὸ ἀληθινὸν τὸ διαλῦον σκότος πᾶν
καὶ τὴν τῆς διανοίας μου σκοτόμαιναν διάλυσον,
ἵνα ἰδοῦσα σ' ἐπιγνῶ καὶ γνοῦσα ἀγαπήσῃ Σε.

Πᾶς γὰρ ἐπιγινώσκων Σε καὶ ἀγαπῶν Σε Ἰησοῦ,



ἐπιλανθάνεται αὐτοῦ, ἀποχωρεῖ μὲν ἑαυτοῦ
πρὸς Σὲ δέ, Λόγε, ἔρχεται καὶ χαίρει μένων παρὰ Σοί.

Ἐντεῦθεν, Κύριε, τὸ μὴ ἐμὲ μὴ ἄκρως Σε φιλεῖν,
ὅσον ὀφείλω σε φιλεῖν· οὐ γὰρ ἐπέγνων ἱκανῶς·
ὁ γὰρ ὀλίγον ἐπιγνοὺς ὀλίγον καὶ Σὲ ἀγαπᾷ.

Ὁ ἐπιγνούς Σε, Κύριε, χαίρει ἀνέκφραστον χαράν·
ἐγὼ ὀλίγον χαίρω Σοι, ἐπεὶ ὀλίγον Σε φιλῶ·
ὀλίγον δέ σε ἀγαπῶ, ἐπεὶ ὀλίγον ἔγνων Σε.

Ὁ Σὲ γινώσκων, Κύριε, ἔχει τὴν ἔνδοθεν χαράν,
τὴν Σὴν χαρὰν τὴν ἀληθῆ, τῆς ἔξωθεν ἀφεστηκώς·
ἐγὼ οὐ χαίρω ἔνδοθεν, ὅτι οὔπω ἐπέγνων Σε.

Ὁ ἐπιγνούς Σε, Κύριε, Σοῦ τῇ καρδίᾳ εὐμοιρεῖ,
διὸ καὶ χαίρει ἔνδοθεν· ἐγὼ σοῦ μόνον ἀμοιρῶ,
διὸ τὰ ἔξω ἐπιποθῶ καὶ μάταια ἐπιζητῶ.

Ἐντεῦθεν τὸ μὴ ἐπὶ σοὶ χαίρειν ἀεί, ὦ Ἰησοῦ,
καὶ τὸ μὴ προσεφῆφθαί σοι ὅτι τοῖς ἔξω πρόσκειμαι,
Σὺ δὲ τοῖς ἔνδον ὁμιλεῖς τοῖς φίλοις σου πνευματικοῖς.

Καὶ τοῖς παρερχομένοις μὲν προσέχων διαχέομαι,
τῷ λογισμῷ ἀναστρέφομαι, τῷ φθέγματι ἐμπλέκομαι
καὶ τοῖς προσκαίροις πάντοτε τῇ διανοίᾳ φέρομαι.

Σὺ δ' ἡ αἰωνιότης εἶ ἐν οὐρανῷ, ἐγὼ δ' ἐν γῇ·
Σὺ τὰ ὑπέρτατα φιλεῖς, ἐγὼ τὰ χθαμαλώτερα.
Σύ, Λόγε, τὰ Οὐράνια, ἐγὼ τὰ καταχθόνια·
Σὺ τὰ ἀντιφερόμενα εἰς ἕν, Λόγε, συνάγαγε,
Ἀμήν.

ΚΕΦΑΛΑΙΟΝ Β'

Περὶ τῆς τοῦ ἀνθρώπου ἀθλιότητος καὶ ἀσθενείας

Οὐαί μοι τῷ ταλαιπώρῳ! πότ' ἆρά μου ἡ στρεβλότης
τῇ Σῇ εὐθύτητι, Σῶτερ, δυνήσεται ἰσωθῆναι;
Σὺ χαίροις ἐπιδοκιμάζων τὴν μόνωσιν τὴν τελείαν,
ἐγὼ τὴν τύρβην αἱροῦμαι·
Σὺ τὴν σιγὴν προαιρεῖσαι, ἐγὼ τὸν θροῦν τοὺς θορύβους·
Σὺ τὴν ἀλήθειαν θέλεις, ἐγὼ τὸν μάταιον κόσμον·
τὴν καθαρότητα Σὺ μέν, ἐγὼ τὴν ἀκαθαρσίαν·
τί δεῖ με πλείω συνείρειν;
Σὺ εἶ ὁ ὄντως ἀγαθός, ἐγώ εἰμι δὲ πονηρός·
Σὺ εἶ οἰκτίρμων ὁ Θεός, ἐγὼ δ' εἰμὶ ἀνίλεως·
Σὺ ἅγιος εἶ ὁ Θεός, ἐγὼ δὲ ὅλος ἐναγής·
Σὺ δίκαιος εἶ, Κύριε, ἐγὼ δὲ ἄδικός εἰμι.
Σὺ εἶ τὸ φῶς τὸ ἄδυτον, ἐγὼ τυφλώττω πρὸς τὸ φῶς·
Σὺ εἶ ζωὴ ἡ ἄληκτος, ἀλλὰ ἐγὼ νενέκρωμαι·
Σὺ πέλεις, Σῶτερ ἴασις, ἐγὼ νοσῶ πρὸς θάνατον·
Σὺ εἶ χαρὰ ἀΐδιος, ἀνία δέ εἰμι ἐγώ.



Σὺ ἄκρα εἶ ἀλήθεια, ἡ ματαιότης δὲ ἐγώ·
καθὰ καὶ ἅπας ἄνθρωπος τῇ ματαιότητι συζῶν.
Οἴμοι! τί τοίνυν ἄξιον εἴποιμι, ὦ Δημιουργέ;
ἄκουσον ὁ Δημιουργὸς σὸν δημιούργημά εἰμι,
πλὴν φεῦ ἐγὼ ἀπόλωλα· σὸν κτίσμα, ἀλλὰ θνήσκω νῦν·
σὸν ἔργον, ἀλλ' ἐπάνειμι εἰς τὸ μηδὲν ὁ ἄθλιος.
Σὸν πλάσμα αἱ γὰρ χεῖρές σου ἐποίησαν καὶ μ' ἔπλασαν,
αἱ χεῖρες αἱ ἐπὶ σταυροῦ προσηλωθεῖσαι δι' ἐμέ
Κύριε μὴ παρίδοις με ἔργον τῶν σῶν χειρῶν εἰμι.
Ἔπιδε ἐπὶ τὰς πληγὰς τὰς τῶν χειρῶν σου δέομαι!
ἰδοὺ ἐν ταῖς χερσὶ ταῖς σαῖς ἀπέγραψάς με ὁ Θεός·
ταύτην σου τὴν ἀπογραφὴν ἀνάγνωθι καὶ σῶσόν με!
πρὸς Σὲ στενάζω ὁ Θεὸς ἐγὼ τὸ ποίημα τὸ σόν.
Ὁ κτίστης μ' ἐπανάκτισον· ἴδ' ἀνακράζω νῦν πρὸς Σὲ
τὸ κτίσμα τῶν χειρῶν τῶν σῶν, ζωή με ζωοποίησον.
ἰδοὺ τὸ σὸν πλαστούργημα πρὸς Σέ, ὦ πλάστα,
[ἀφορῶ·
ὁ πλαστουργός μου εἶ αὐτός, Σὺ μὲ αὐτὸς ἀνάπλασον·
φεῖσαί μου, Κύριε, μηδέν εἰσι γὰρ αἱ ἡμέραι μου.

—

Οἴμοι τί ἐστιν ἄνθρωπος ὥστε Θεῷ προσφθέγγεσθαι
τῷ πλαστουργήσαντι αὐτόν; φεῖσαί μου προσλαλοῦν-
[τός σοι!
ὦ σύγγνωθι τῷ δούλῳ σου τολμῶντι πρὸς τὸν ἑαυτοῦ
τὸν τηλικοῦτον Κύριον διᾶραι χείλη τὰ αὐτοῦ!
Ἀνάγκη νόμος τοῖς βροτοῖς, εἴρηται, οὐκ ἀπόκειται.
ἡ ἀχθηδὼν ἐπείγει με λαλεῖν πρὸς Σὲ τὸν Κύριον
ἡ ἀθλιότης ἣν ἐγὼ ὑφίσταμαι ὁ ἄθλιος

κράζειν με προβιβάζεται, νοσῶν εἰμι τὸν ἰατρὸν
ἐπικαλοῦμαι βοηθόν, τυφλώττω καὶ ἐπὶ τὸ φῶς
σπεύδω, ὡς ἐμπλησθῶ φωτός,
νενέκρωμαι, πρὸς τὴν ζωὴν ἐπιστενάζω ζώωσον·
Σὺ εἶ, Θεέ, ὁ ἰατρός, Σὺ εἶ τὸ φῶς, Σὺ ἡ ζωή.
Ὦ Ἰησοῦ Ναζαρηνέ, οἴκτιρόν με τὸν πάσχοντα,
Υἱὲ Δαυὶδ ἐλέησον, Σὺ τοῦ ἐλέους εἶ πηγή,
ἐπάκουσον τί ἀσθενῶν ἐγὼ πρός Σὲ ἐκέκραξα.
Τὸ φῶς τὸ διερχόμενον πρόσμεινον τὸν τυφλώττοντα,
αὐτῷ τὴν χεῖρα ὄρεξον, ἵνα προσέλθω σοι, Χριστέ,
καὶ φῶς ἐν τῷ φωτὶ τῷ Σῷ ὄψηται, ὃ ἐπιζητεῖ.
Ζωὴ ἡ ζῶσα ζώωσον τὸν νεκρωθέντα πάθεσι·
ὁ προσλαλῶν σοι τίς εἰμί; Οὐαί μοι φεῖσαί μου, Θεέ,
πτῶμά εἰμι γὰρ σεσηπός, τροφὴ σκωλήκων πέφυκα,
δυσῶδες σκεῦος ρυπαρόν, νομὴ πυρός· τί δε ἐγὼ
εἰμὶ ὁ σοὶ συνομιλῶν; Οὐαί μοι φεῖσαί μου, Θεέ.
ὁ τάλας ἄνθρωπος ἐγώ, ἄνθρωπος τόκος γυναικός,
βραχεῖ ἐν χρόνῳ γεννηθεὶς καὶ ἐν βραχυτελεῖ ζωῇ
καὶ κακοδαιμονίας δὴ πολλῆς τελῶν ἀνάπλεως,
ἄνθρωπος ματαιότητι ὁμοιωθεὶς ὁ δείλαιος,
κτήνεσι παρασυμβληθεὶς τοῖς ἀνοήτοις γέγονα,
κτήνεσι παραπλήσιος.

—

Τί δὲ αὖθις ἐγὼ πέλω; ἄβυσσός εἰμι ἐσχάτη
ζοφερὰ καὶ γῆ ἀθλία, καὶ υἱὸς ὀργῆς τυγχάνω
σκεῦός τε τῆς ἀνομίας κυοφορηθεὶς ἐν πάσῃ
ὅλος ἐν ἀκαθαρσίᾳ, ζῶν τε ἐν ταλαιπωρίᾳ,
τεθνηξόμενος δὲ σπεύδω ἐν πολλῇ στενοχωρίᾳ.



Φεῦ ὁ τάλας τί εἰμὶ οὖν; τί δὲ ἔσομαι ὁ τλήμων;
κόγχη πέλω τῆς σαπρίας, καὶ ἀγγεῖον τῆς κοπρίας
δυσωδίας, ἀηδίας, καὶ ἀνάμεστος παντοίας
ἀφορήτου βδελυγμίας· καὶ τυφλός, πτωχὸς γυμνός τε
ὑποκείμενος ἀνάγκαις καὶ παντοίαις ἄλλαις χρείαις
ἀγνοῶ τὴν εἴσοδόν μου καὶ αὐτὴν τὴν ἔξοδόν μου.
Πέλω τε οἰκτρὸς θνητός τε ὡς σκιὰ δὲ αἱ ἡμέραι
φαίνονται παράγουσί τε, οὗτινος ὁ βίος ὅλος
οἱονεὶ σκοτόμαινά τις σεληναία καταπαύει,
καὶ ὡς ἄνθος τι προκύπτει καὶ μαραίνεται αὐτίκα
καὶ ἀνθεῖ νῦν πρὸς μικρὸν μέν, ὕστερον ξηραίνεται δέ.
Ἡ ζωή μου, λέγω, ἔστιν εὔθραυστος ζωὴ βραχεῖα,
ζωὴ εὔπτωτος ἀθλία, ὅσῳ τε προαγομένη
ὑποφθίνουσα τοσούτῳ·
ὅσῳ μᾶλλον πρόεισι δὲ ἔγγιον τοσούτῳ μᾶλλον
πρόεισι δὴ τῷ θανάτῳ, ἔστ᾽ ἀπατηλὴ σκιώδης
καὶ ἀνάπλεως παγίδων. Νῦν μὲν χαίρω πλὴν πρὸς [ὥραν,
παραχρῆμα δ᾽ ἀνιῶμαι. Νῦν ἀκμάζω, μετ᾽ ὀλίγον
ἀσθενῶ καὶ φθίνω ὅλος· ζῶ νῦν, θνήσκω δὲ αὐτίκα,
νῦν δοκῶ εὐδαιμονεῖν με, αἴφνης κακοδαιμονῶ δέ·
νῦν γελῶ, ἐγγὺς δὲ κλαίω.
Οὕτω δὴ μεταβολῇ μοι ἅπαντα ἀπόκειταί τε,
ὥστε μόλις τί μοι μένειν κατὰ τὴν αὐτὴν δὴ ὥραν
ἐπὶ τῆς μιᾶς αὐτῆς γε καταστάσεώς μου ὅλης·
ἔνθεν φόβος, ἔνθεν τρόμος· ἔνθεν πεῖνα, ἔνθεν δίψα·
ἔνθεν καῦσις, ἔνθεν ῥῖγος· ἔνθεν ἔστι ἀτονία,
ἔνθεν ἐπιπλεονάζει ἀλγηδὼν παντοῖοι πόνοι.

Ἐπὶ τούτοις ἕπεται δὲ φορτικῶς ὁ θάνατός τε
ὁ ἁρπάζων ἀδοκήτως τοὺς ἐλεεινοὺς ἀνθρώπους
ὁσημέραι τοῖς μυρίοις τρόποις ἀπὸ τῶν ἐντεῦθεν.
τὸν μὲν πυρετοῖς γὰρ κτείνει, τὸν δ᾽ ὀδύναις συμπιέζει·
καὶ τὸν μὲν λιμῷ συμφθείρει, τὸν δ᾽ ἀποσβεννύει δίψει·
ἄλλον ὕδατ᾽ ἀποπνίγει, τὸν δ᾽ ἀπόλλυσιν ἀγχόνῃ·
ἐν φλοξὶ μὲν ἀναλίσκει τοῦτον, ἄλλον δὲ ἀγρίων
βορὰν ἵστησι θηρίων· καὶ μαχαίρᾳ τοῦτον σφάττει,
διαφθείρει δὲ ἐκεῖνον διὰ τοῦ δηλητηρίου·
ἕτερον δὲ ἀναγκάζει τόν δε βίον ἐκπερᾶναι
τὸν ἐν ταῖς ταλαιπωρίαις αἰφνιδίῳ τινὶ τρόμῳ.
Ἤδη δ᾽ ἐπὶ τούτοις πᾶσιν ἐπιγίγνεται ἡ ἄκρα
τοῦ ἀνθρώπου ἀθλιότης, ἐπειδὴ οὐδὲν θανάτου
βεβαιότερον ὑπάρχει· ἀγνοεῖ ὁ τάλας ὅμως
ἄνθρωπος αὐτοῦ τὸ τέλος καὶ ἐνῷ δοκεῖ ἑστᾶναι
ἀφαρπάζεται ταχέως καὶ ἀποίχεται δὴ φρούδη
ἡ ἐλπὶς αὐτοῦ ἣν ἔσχεν.
Ὁ γὰρ ἄνθρωπος οὐκ οἶδεν ὅτε θνήξεται, καὶ ὅπου,
καὶ καθ᾽ οἷόν τινα τρόπον· καίτοι γε εἰδὼς βεβαίως
ὅτι πέπρωται τεθνάναι.

Ἴδε ὅση τοῦ ἀνθρώπου πέφυκεν ἡ ἀθλιότης
ἐν ᾗ καὶ ἐγὼ διάγω, καὶ ὁ τάλας οὐ πτοοῦμαι·
καὶ ἡλίκη μου, ἣν πάσχω πάνδεινος ταλαιπωρία
καὶ οὔτε ἀλγῶ τελείως οὔτε πρός σε ἀνακράζω.
Κύριε κεκράξομαί σοι πρὶν παρέλθω τῶν ἐντεῦθεν,
εἴπερ μὴ παρέλθοιμί γε, ἀλλὰ εἴην ἐν σοὶ μένων·
Κύριε, τοίνυν ἐρῶ Σοὶ τὴν ἐμὴν ταλαιπωρίαν



καὶ τὴν κακοδαιμονίαν. Κατ' ἐνώπιόν Σου πᾶσαν
τὴν ἀσθένειάν μου Σῶτερ εὐλαβῶς ἐξαγορεύσω.
Σὺ βοήθησόν με Σῶτερ ἡ ἰσχὺς ἡ δύναμίς μου
ἥτις με ἀνακουφίζει, ἡ ἰσχὺς συνάρηξόν μοι,
δι' ἧς ὑπανέχομαί γε· Σὺ τὸ φῶς τῶν ὀφθαλμῶν μου
δεῦρο τάχει δι' οὗ βλέπω, καὶ ἐμφάνηθι ἡ δόξα
ἣ ἀεί με κατευφραίνει. Κύριε ἐμφάνηθί μοι,
ὁ Θεός μου ἡ ζωή μου, ἐν ᾗ ζήσομαι εἰς τέλος.

ΚΕΦΑΛΑΙΟΝ Γ'

Περὶ τοῦ Θαυμασίου Θείου φωτός.

Ὦ τὸ φῶς τῆς ζωῆς τῶν ἀνθρώπων, ὃ Τωβίας ποτὲ
[καθεώρα
ὀφθαλμοῖς κεκλεισμένοις, ὁπότε τὸν Υἱὸν τὸν Τωβὴτ
[ἦν διδάσκων
τὴν ὁδὸν τῆς ζωῆς· φῶς τὸ θεῖον, ὅπερ ὁ Ἰσαὰκ ὁ
[προπάτωρ
εἰσεδέρκετο ἔνδοθεν, ὅτε ἀμβλυώττων τὰς ἔξωθεν ὄψεις
τὰ ἐσόμεν' ἐξήει τῷ τέκνῳ· τὸ ἀθέατον λέγω ἐκεῖνο
ᾧ τινι ὁρατός ἐστιν ἅπας ὁ βυθὸς τῆς ἀνθρώπων
[καρδίας,
τὸ ἀνέσπερον φῶς δι' οὗ εἶδεν Ἰακὼβ τὰ ἐρχόμενα
ἃ προήγγειλε τοῖς ἑαυτοῦ τέκνοις. [πάντα,
Ἰδοὺ σκότος πολὺ ἐπεχύθη ἐν ἐμοὶ ἐπὶ πρόσωπον ἅπαν

τῆς ἀβύσσου, Θεέ, τῆς ψυχῆς μου, καὶ ἀχλὺς ἐπε·
[σκέδασται ζόφου
ἐπὶ τῶν τῆς καρδίας ὑδάτων. Σὺ δὲ εἶ ἡ ἀλήθεια μόνη.

Ὦ Λόγε, δι' οὗ ἅπαντα ἐγένοντο τῷ λόγῳ Σου
καὶ οὗ χωρὶς οὐδέν ἐστιν ὃ γέγονεν ἀφ' ἑαυτοῦ.
Ὁ Λόγος ὁ προάναρχος, οὗ πρότερον οὐδέν ἐστιν,
ὁ Λόγος ὁ προαγαγὼν τὰ πάντα διεξάγων τε,
οὗ ἄνευ ἅπαντα οὐδέν. Λόγε ὁ ἐν ἀρχῇ εἰπών·
φῶς γενηθήτω καὶ εὐθὺς τὸ φῶς ἐγένετο, εἰπέ·
φῶς γενηθήτω ἐπ' ἐμοί, καὶ γένοιτό μοι θεῖον φῶς·
καὶ ἴδοιμι τὸ θεῖον φῶς, καὶ γνοίην ὃ οὐκ ἔστι φῶς,
ὅτι Σοῦ ἄνευ ἡ σκιὰ φῶς ἐν ἐμοὶ καθίσταται.
Καὶ οὕτως ἄνευ Σοῦ τὸ φῶς οὐκ ἔστιν ἡ ἀλήθεια,
ἀλλ' ἡ ἀπάτη πάρεστιν, ἡ ματαιότης εὕρηται,
οὐκ ἔστιν ἡ τοῦ ἀληθοῦς τελείως ἐξακρίβωσις,
πάρεστι σύγχυσις πολλή, πάρεστιν ἄγνοια πολλή,
οὐκ ἔστιν ὅλως σύνεσις οὐδ' ἐπιστήμη ἀληθής,
ἀλλὰ τυφλότης πάρεστιν, ἡ ὅρασις δὲ ἄπεστιν·
πάρεστιν ἀνοδία δέ, οὐκ ἔστιν ἄγουσα ὁδός·
ἄπεστιν ὅλως ἡ ζωή, ὁ θάνατος δὲ πάρεστιν.




ΚΕΦΑΛΑΙΟΝ Δ'

Περὶ ἀνθρώπου φύσεως θανάτῳ ὑποκειμένης.

Ἰδοὺ ὁ θάνατός ἐστι διὰ τὸ μὴ ὑπάρχειν φῶς·
μᾶλλον οὐκ ἔστιν θάνατος, ἐπεὶ ὁ θάνατος οὐδέν·
διὰ θανάτου καὶ αὐτοὶ χωροῦμεν ἐπὶ τὸ μηδὲν
ἐνῷ οὐκ ὀρρωδοῦμεν, φεῦ! τοῦτο δὴ τὸ μηδὲν ποιεῖν
ἀεὶ ἐξαμαρτάνοντες. Καὶ ἐν τῇ δίκῃ ἄξια
ὧν ἐν τῷ βίῳ πράττομεν ἀεί, ἀπολαμβάνομεν·
καὶ γὰρ δὴ ἐπὶ τὸ μηδὲν ὡς ὕδωρ καταρρέομεν
τὸ διαπορευόμενον. Ἐπεὶ σοῦ ἄνευ, Κύριε,
γέγονεν ὅλως οὐδὲ ἕν. Ἡμεῖς οὖν τῷ ποιεῖν μηδὲν
μηδὲν δὴ ἐγενόμεθα διὰ τὸ εἶναι χωρὶς Σοῦ
δι' οὗ τὰ πάντα γέγονε, οὗ ἄνευ οὐκ ἐγένετο
οὐδὲν ἐξ ὅσων γέγονεν.
Ὦ Κύριε Λόγε Θεοῦ, Θεὲ καὶ Λόγε Κύριε.
δι' οὗ τὰ πάντα γέγονεν, καὶ σοῦ χωρὶς ἐγένετο
οὐδέ γε ἓν ὃ γέγονεν.
Οὐαὶ τῷ τυφλωθέντι μοι. Ἐπείπερ Σὺ μὲν εἶ τὸ φῶς,
ἐγὼ δέ σκότος χωρὶς Σοῦ. Οὐαὶ τῷ τρισαθλίῳ μοι
τῷ πλεονάκις τραύματα λαβόντι πράττοντι κακά,
Σὺ δὲ μοῦ εἶ ἡ ἴασις, ἐγὼ δὲ ἄνευ Σοῦ εἰμι.
Οὐαὶ τῷ μαρανθέντι μοι τοσάκις τῷ ἐλεεινῷ·
ὅτι Σὺ μὲν ἀλήθεια, ἐγὼ δὲ ἄνευ Σοῦ εἰμι.
Οὐαὶ τῷ πλανηθέντι μοι τοσάκις ἀπὸ τῆς ὁδοῦ
ὅτι Σὺ εἶ μὲν ἡ ὁδός, ἐγώ δὲ Σοῦ χωρίς εἰμι.

Οὐαὶ τῷ νεκρωθέντι μοι τοσάκις τῷ ἁμαρτωλῷ,
ὅτι Σὺ μὲν εἶ ἡ ζωὴ ἐγὼ δὲ Σοῦ χωρίς εἰμι.
Οὐαί μοι τῷ τοσάκις ἐξουδενωθέντι, Κύριε,
ὅτι Σὺ μὲν ὁ Λόγος εἶ δι' οὗ τὰ πάντ' ἐγένετο,
ἐγὼ δὲ ἄνευ Σοῦ εἶμι, οὗ ἄνευ οὐκ ἐγένετο
οὐδὲν ἐξ ὅσων γέγονεν.
Ὦ Λόγε Κύριε Θεέ, ὃς εἶ τὸ φῶς τὸ τοῦ φωτός,
δι' οὗ τὸ φῶς ἐγένετο, ὃς εἶ, ὡς εἶπας, ἡ ὁδός,
ὃς πέλεις ἡ ἀλήθεια, καὶ ἡ αἰώνιος ζωή·
ἐν ᾧ οὐκ ἔστι σκότος τι οὔτ' ἐξαπάτη ἔνεστιν,
ἀλλ' οὔτε ματαιότης τις, οὐ θάνατος βροτολοιγός.
Σὺ εἶ τὸ φῶς, οὗπερ χωρὶς σκότος ἐστὶ ψηλαφητόν
Σὺ ἡ ὁδὸς εἶ ἧς χωρὶς ἐστὶν ἡ πλάνη πανταχοῦ·
Σὺ πέλεις ἡ ἀλήθεια, ἧς ἄνευ ματαιότης πᾶν.
Σὺ ἡ ζωὴ εἶ ἧς χωρὶς ὁ θάνατος κυριαρχεῖ.
Λόγον, ὦ Κύριε, εἰπέ· φῶς γενηθήτω ἐν ἐμοί,
ἵν' ἴδω καὶ ἐγὼ τὸ φῶς, ἐκφύγω δὲ τὰ σκοτεινά,
ἴδω τὴν σώζουσαν ὁδόν, φύγω τὴν ἀνοδίαν δέ,
κατίδω τὴν ἀλήθειαν, φύγω τὴν ματαιότητα.
Ἴδω Σὲ τὴν ζωὴν ἡμῶν, ἐκφύγω δὲ τὸν θάνατον.
Καταύγασόν με, Κύριε, ὁ φωτισμός μου ὁ σωτήρ,
ὃν φοβηθήσομαι ἐγώ· ὁ Κύριός μου ὁ Θεός,
ὃν ἀνυμνήσω εὐλογῶν καὶ εὐλογήσω ἀνυμνῶν,
ὃν ἀγαπήσω ὡς υἱὸς τὸν θεῖόν μου γεννήτορα,
ὁ ποθητὸς Νυμφίος μου ὧπερ τηρήσω ἐμαυτόν,
ὦ λάμψον φάος τὸ ἐμόν, ἐπίλαμψον δὲ τῷ τυφλῷ
τῷ Σοὶ παρισταμένῳ νῦν τῷ καθημένῳ ἐν σκιᾷ
ἐν σκότει τοῦ θανάτου τε, καὶ εὔθυνον, σοῦ δέομαι



τὰ διαβήματα αὐτοῦ εἰς τῆς εἰρήνης τὴν ὁδόν,
δι' ἧς γε εἰσελεύσομαι εἰς τόπον θαυμαστῆς σκηνῆς
ἕως τοῦ Οἴκου τοῦ Θεοῦ μετὰ φωνῆς αἰνέσεως
καὶ ἐξομολογήσεως, φωνῆς ἀγαλλιάσεως.
Ἡ γὰρ ἐξομολόγησις ἡ ἀληθὴς αὕτη ἐστὶν
ἡ τρίβος δι' ἧς ἂν ὡς Σὲ εἰσέλθοιμι, Θεάνθρωπε,
δι' ἧς ἐκκλίναιμι, Θεέ, τῆς ἀνοδίας τῶν κακῶν,
πρὸς Σὲ δὲ ἐπανήξαιμι, ὅτι Σὺ ὄντως ἡ ὁδὸς
καὶ Σὺ εἶ ἡ ἀλήθεια.

ΚΕΦΑΛΑΙΟΝ Ε'

Τί ἐστι τὸ γενέσθαι μηδέν.

Ἐξομολογήσομαί Σοι τοίνυν, Πάτερ, ἐκ καρδίας,
Ἐξομολογήσομαί Σοι τὴν ἐλεεινότητά μου
καὶ τὴν ἀθλιότητά μου, ὅπως μοι ἐξῇ ἱκέσθαι
ἐπὶ τὸ ἀπείρως μέγα ἔλεός σου, ὁ Θεός μου.
Ἄθλιος γὰρ ἐγενόμην καὶ εἰς τὸ μηδὲν ὁ τάλας
ἐτραπόμην, καὶ οὐκ ἔγνων, ὅτι Σὺ ἀλήθεια εἶ,
ἐγὼ δὲ οὐκ ἦν μετά σου. Αἱ πολλαί μου ἀνομίαι
ὅλον ἐτραυμάτισάν με, καὶ οὐκ ἤλγησα ὁ τάλας,
ὅτι Σὺ εἶ ἡ ζωή μου, Σοῦ δ' ἐγὼ ἀπεμακρύνθην
εἰς τὸ με μηδὲν γενέσθαι ἐπανήγαγόν με αὖθις,
ὅτι Σὺ ζωῆς ὁ λόγος, ἐγὼ δὲ σοῦ ἄνευ πέλω,
δι' οὗ γέγονε τὰ πάντα, οὗ χωρὶς οὐδὲν τῶν ὄντων

εἰς τὸ εἶναι δὴ προῆλθε· διὰ τοῦτο ἐγενόμην
τὸ οὐδὲν χωρὶς Σοῦ Λόγε· τὸ μηδὲν γὰρ τοῦτο ἔστι
πρὸς οὐδένωσιν ἐπάγον. Πάντα γὰρ διὰ τοῦ Λόγου
ἐκ τοῦ μηδενὸς προῆλθεν, ὅσα περ ἐγένετό τε,
οἷά τέ περ ἐγεγόνει. Εἶδεν ὁ Θεὸς ὁ Πλάστης
ἅπαντα τὰ ποιηθέντα, ἦν καλὰ δὲ πάντα λίαν.
Πάντα ὅσα μόνῳ λόγῳ γέγονεν διὰ τοῦ Λόγου,
ὅσα δὲ διὰ τοῦ Λόγου γέγονεν καλὰ δὴ λίαν.
Διατί καλά ἐστι δέ ; ὅτι γέγονε τὰ πάντα
διὰ τοῦ Θεοῦ καὶ Λόγου, καὶ χωρὶς αὐτοῦ οὐδέν τι
γέγονε τῶν γενομένων.


Οὐδὲν γάρ ἐστιν ἀγαθὸν χωρὶς τοῦ ἄκρου ἀγαθοῦ
ἔνθα δ' οὐκ ἔστιν ἀγαθόν, ἐκεῖ ὑπάρχει τὸ κακόν·
ἔνθα ὑπάρχει τὸ οὐδέν, ἐκεῖ ὑπάρχει τὸ κακόν·
τὸ γὰρ κακὸν οὐδέν ἐστιν, ἀλλ' ἥ περ ἡ τοῦ ἀγαθο
ἀφάνεια καὶ στέρησις· ὡς ἡ τυφλότης οὐκ ἔστιν
ἡ τοῦ φωτὸς ἡ στέρησις

Κακὸν οὖν ἔστι τὸ μηδέν, ἅτε δὴ τοῦτο γεγονὸς
χωρὶς τοῦ Λόγου τοῦ Θεοῦ, οὗ ἄνευ γέγονεν οὐδέ
Κακὸν δ' ἔστι τῷ δι' αὐτοῦ τὸν ἄνθρωπον τοῦ ἀγαθ
ἀποστερεῖσθαι τοῦ δι' οὗ πάνθ' ὅσ' ἐστιν ἐγένετο.
τὰ δὲ μὴ ὄντα τὰ μηδὲν οὐ δι' αὐτοῦ ἐγένετο,
δι' ὃ οὐδέν ἐστιν αὐτὰ καὶ διὰ τοῦτο καὶ κακὰ
ἐστὶ τὰ μὴ γενόμενα ὑπὸ τοῦ Λόγου τοῦ Θεοῦ,
ὅτι πάνθ' ὅσα γέγονε διὰ τοῦ Λόγου γέγονε,
καὶ πάντα ὅσα γέγονε διὰ τοῦ Λόγου τοῦ Θεοῦ

ἅπαντα ἀγαθά ἐστιν.
Ἐπεὶ διὰ τοῦ Λόγου οὖν τὰ ἅπαντα ἐγένετο,
οὐκ ἄρα δι᾽ αὐτοῦ εἰσι τὰ ἐνυπάρχοντα κακά.
Λείπεται οὖν τὸ μηδαμῶς ἅπαντα εἶναι ἀγαθὰ
τὰ μηδαμῶς γενόμενα ὑπὸ τοῦ Λόγου τοῦ Θεοῦ·
ὅτι πάνθ᾽ ὅσα γέγονεν ὑπὸ τοῦ Λόγου τοῦ Θεοῦ,
ταῦτά εἰσι καὶ ἀγαθά· διό περ καὶ κακά εἰσι,
διότι οὐκ ἐγένετο ὑπὸ τοῦ Λόγου τοῦ Θεοῦ·
ὅθεν καὶ τὸ μηδέν εἰσι, διότι οὐκ ἐγένοντο,
ὅτι χωρὶς αὐτοῦ οὐδὲν γέγονεν ὅσα γέγονεν.
τοιγαροῦν τὸ κακόν ἐστιν μηδέν, ἐπεὶ οὐ γέγονεν.
Ἀλλὰ πῶς ἐστι τὸ κακόν, εἰμὴ ἐγένετο κακόν;
ἐπεί περ τὸ κακόν ἐστιν ἡ στέρησις τοῦ ἀγαθοῦ,
δι᾽ οὗ ἐστι τὸ ἀγαθόν, δι᾽ οὗ αὐτὸ ἐγένετο,
ἄρα κακὸν ὃ γέγονε χωρὶς τοῦ Λόγου τοῦ Θεοῦ,
ὅπερ οὐχ οἷόν τέ ἐστι διὰ τὸ εἶναι δὴ μηδὲν χωρὶς
[τοῦ Λόγου τοῦ Θεοῦ·
ἀλλὰ τί ἐστι τὸ ἀπὸ τοῦ Λόγου ἐκχωρίζεσθαι;

Εἰ τοῦτο ἐθέλεις εἰδέναι διάκουσον τί ἐστι Λόγος,
ὁ Λόγος λέγει ὁ Θεῖος· «Ἐγώ εἰμι ἡ εὐθεῖα ὁδὸς
[ἡ τῆς σωτηρίας
καὶ ἡ ἀλήθεια πέλω καὶ ἡ ζωὴ τῶν ἁπάντων·
τὸ τοίνυν ἀπὸ τοῦ Λόγου χωρίζεσθαι ἐστὶν ὑπάρχειν
χωρὶς ὁδοῦ σωτηρίας χωρίς τε τῆς ἀληθείας
καὶ τῆς ζωῆς τῶν ἁπάντων. Διὸ χωρὶς αὐτοῦ εἶναι
ἴσον ἐστὶ μηδὲν εἶναι· ἔνθεντοι καὶ κακόν ἐστιν
ὡς ἀποκεχωρισμένον τοῦ ἀγαθοῦ θείου Λόγου,

δι᾽ οὗ περ τὰ γεγονότα πάντ᾽ ἀγαθά ἐστι λίαν·
τὸ ἄρα ἀποκεχωρίσθαι τοῦ Λόγου τοῦ θειοτάτου,
δι᾽ οὗ ὑπέστη τὰ πάντα, οὐδέν τι ἕτερόν ἐστιν
ἢ τὸ ἐκλείπειν τοῦ ὄντος καὶ ἐκ τῆς ἕξεως ταύτης
εἰς στέρησιν μεταβαίνειν, ὅτι χωρὶς δὴ τοῦ ὄντος
μηδὲν τῶν ὄντων ὑπάρχει. Ὁσάκις οὖν ἄνθρωπε σὺ
τοῦ ἀγαθοῦ ἀποκλίνεις, σαυτὸν τοῦ Λόγου χωρίζεις,
ἐπεὶ αὐτός ἐστι μόνος τὸ ἀγαθὸν τὸ ὑπάρχον
καὶ τούτου ἕνεκα γίγνῃ μηδεν σὺ τὸ μὴ ὑπάρχον.
Νῦν τοίνυν ἐφώτισάς με, ὅπως ἂν ἴδω σε Λόγε·
Μενοῦνγε σὲ εἶδον καὶ οὕτως κἀμὲ αὐτὸν νῦν ἐπέγνων
καὶ συνεῖδον ὡς τοσάκις κατέστην τό μὴ ὑπάρχον,
ὁσάκις ἀφέστηκά Σου· ἐπείπερ ἐπελαθόμην
τοῦ ἀγαθοῦ ὃ αὐτὸς εἶ, διὸ κακὸς ἐγενόμην.
Οἴμοι τῷ τάλανι! Οἴμοι! ἵνα τι τόδε οὐκ ᾔδειν,
ὡς ἄρα σὲ ἀπολείπων εἰς τὸ μηδὲν ἐτρεπόμην;
ἀλλὰ τί τόδ᾽ ἐρωτῶ νῦν; μηδὲν ὢν τῇ ἐρωτήσει;
πῶς ἐπιγνῶναι ἐκεῖνο οὐ προηρούμην ὁ τάλας;
ἴσμεν οἱ ἄνθρωποι, ὡς ὃ κακόν ἐστι μηδέν ἐστι,
καὶ ὃ μηδέν ἐστιν, τοῦτο οὐδ᾽ ὅλως ἔστιν ἐν οὖσι,
καὶ ὅτι οὐδ᾽ ὅλως ἐστὶ γε τὸ μὴ ἀγαθὸν ἐν τοῖς οὖσιν,
ἐπεὶ μηδὲν καὶ οὐκ ἔστιν.
Εἰ τοίνυν μὴ ἐγὼ ἤμην, ὅτε Σοῦ ἄνευθεν ἤμην,
ὡσεὶ μηδὲν ἄρα ἤμην, καὶ οἷον εἴδωλον ἤμην
τῷ μηδαμῶς μηδὲν ὄντι· αὐτὸ γὰρ ὦτα μὲν ἔχει,
ἀλλὰ φωνὴν οὐκ ἀκούει· καὶ ῥῖνα ἔχει ὁμοίως,
ἀλλ᾽ οὐκ ὀσφραίνεται ὅλως· καὶ ὀφθαλμοὺς πρὸς τὸ
[βλέπειν,



ἀλλ᾽ οὐκ ὀπτάνεται ὅλως· καὶ στόμα ἔχει καὶ χείλη,
ἀλλὰ οὐ φθέγγεται ὅλως· καὶ χεῖρας ἔχει ὁμοίως,
ἀλλὰ οὐ μὴ ψηλαφῶσι· καὶ πόδας ἔχει ὁμοίως,
ἀλλ᾽ οὔ γε περιπατήσει· καὶ πᾶσαν ἄρθρωσιν ἔχει,
ἀλλὰ ἀναίσθητον μένει.


ΚΕΦΑΛΑΙΟΝ Ϛ΄.

Ἀθλιότης ψυχῆς τῆς ἐν ἁμαρτίαις συνεχομένης

Ὅτε ἐγὼ χωρὶς σοῦ ἦν, οὐκ ἤμην ἄρα οὐδαμῶς·
ἦν γὰρ ὑπάρχον τὸ μηδέν, ὅλως τυφλός τε καὶ κωφὸς
αἰσθήσεώς τε ἀμοιρῶν, μὴ διακρίνων παντελῶς
τὸ ἀγαθὸν τοῦ ἀλιτροῦ,
μήτ᾽ ἀπεκκλίνων τοῦ κακοῦ, μήτε προσαισθανόμενος
τοῦ ἄλγους τῶν τραυμάτων μου, μήθ᾽ ὅλως τὸν περὶ ἐμὲ
ὁρῶν πυκνὸν συσκοτασμόν· σοῦ ἄνευ γὰρ ἤμην ἐγὼ
τοῦ φάους τοῦ ἀληθινοῦ
τοῦ ἐρχομένου εἰς τὴν γῆν ἐξ Οὐρανοῦ τῶν Οὐρανῶν
καὶ πάντα ἄνθρωπον ἐν γῇ ἀεὶ διαφωτίζοντος.
Οὐαί μοι μ᾽ ἐτραυμάτισαν, ἀλλὰ ἐγὼ οὐκ ἤλγησα·
παρέσειράν με εἰς βυθόν, ἀλλ᾽ οὐ συνήσθημαι ἐγώ·
ἐγὼ γὰρ ἤμην τὸ οὐδέν· ὡς ἄμοιρος ὢν τῆς ζωῆς
ἥτις ὁ Λόγος καὶ ἔστιν, δι᾽ οὗ τὰ πάντ᾽ ἐγένετο.
Τούτου οὖν ἕνεκεν Θεέ, ὃς εἶ τὸ φάος τὸ ἐμόν,
πάντες οἱ μοὶ ἐχθραίνοντες ἔδρασαν ὃ ἠθέλησαν.

Ἐπάταξάν με, Κύριε, καὶ δή με ἀπεγύμνωσαν
διέφθειραν ἐμίαναν κατῄκισαν ἀπέκτειναν,
ὅτι ἐμακρύνθην ἀπὸ σοῦ καὶ γέγονα, φεῦ ! τὸ μηδὲν
σοῦ ἄνευ, Λόγε τοῦ Θεοῦ.

Οἴμοι, τὸ φῶς μοι ἡ ζωή, ὁ Κύριος ὁ πλάστης μου,
τὸ φῶς τὸ κατευθῦνόν με ὁ ὑπερασπιστής μου Σὺ
ἐλέησόν με ὁ Θεὸς καὶ ἐξανάστησόν μου Σὺ
ὁ Κύριός μου· καὶ Θεὸς ἐλπίς μου ἐκ νεότητος
ἡ δύναμίς μου ἡ ἰσχὺς ἡ μόνη μου ἐπίκλησις
ἐν τῇ ἡμέρᾳ θλίψεως ἔπιδε ἐκ τοῦ ὕψους σου
ἐπὶ τοὺς μοι ἐχθραίνοντας καὶ ῥῦσαί με Σὺ ἐξ αὐτῶν.
Φυγέτωσαν ἀπὸ τοῦ σοῦ προσώπου οἱ μισοῦντές με,
ἐγὼ δὲ ζήσομαι ἐν σοὶ καὶ διὰ σοῦ Λόγε Θεοῦ.
Αὐτοὶ μὲ κατενόησαν καὶ ἄνευ σοῦ ἰδόντες με
Λόγε με ἐξουθένησαν. Διεμερίσανθ᾽ ἑαυτοῖς
ἱμάτια τῶν ἀρετῶν, οἷς σύ με κατεκόσμησας
καὶ τρίβον σφίσι δι᾽ ἐμοῦ Κύριε ἐποιήσαντο·
ὑπὸ τοὺς πόδας τε αὐτῶν αὐτοί με κατεπάτησαν,
ἐν δὲ ἰλύι δυσωδῶν ἁμαρτημάτων οἱ ἐχθροὶ
ἐμὲ κατεβορβόρωσαν, καὶ τὸν ναόν Σου Κύριε
τὸν ἅγιον ἐμίαναν· εἰς ἔρημόν με ἔθεντο
καὶ ἐν ὀδύνῃ με πολλῇ αὐτοὶ κατεξειργάσαντο
καὶ διεπορευόμην δὲ τυφλὸς ἐξ ὄπισθεν αὐτῶν
καὶ πεπαγιδευμένος δὲ σχοινίοις τῶν ἁμαρτιῶν.
καὶ περιεῖλκόν με αὐτοὶ δέσμιον ὄπισθεν αὐτοῖς
ἀπὸ κακίας εἰς κακά, καὶ ἐξ ἰλύος εἰς ἰλύν,
καὶ πρὸ προσώπου ἔβαινον ἄνευ ἰσχύος τοῦ ἐμὲ



ἀεὶ καταδιώκοντος. Δοῦλος ὑπῆρχον εὐπειθὴς
καὶ στέργων ἐξεδούλευον· τυφλός, τυφλώττειν ἤθελον,
δέσμιος ὢν οὐκ ἔφριττον τὰ συγκρατοῦντά με δεσμά·
πικρὸν ἐδόκουν τὸ γλυκύ, γλυκὺ δὲ τὸ κατάπικρον.
Ἐτύγχανον ἐλεεινός, ἀλλὰ ἠγνόουν παντελῶς,
ἠγνόουν δ' ὅτι ἄνευ σοῦ τοῦ Λόγου διεβίωσα
οὗ ἄνευ οὐκ ἐγένετο οὐδὲν τῶν ὅσων γέγονεν
δι' οὗ τὰ πάντα ἕδρασται, προνοίᾳ συντηρεῖται δέ·
καὶ οὗπερ ἄνευ οἴχεται τὰ πάντα ἐπὶ τὸ μηδέν.
Ὥσπερ γὰρ πάντα δι' αὐτοῦ τὰ κτίσματα ἐγένετο
αὐτοῦ δὲ ἄνευ οὐδὲ ἓν τῶν ποιημάτων γέγονεν,
οὕτω τὰ πάντα δι' αὐτοῦ προνοίᾳ διασώζεται
καὶ συντηρεῖται, ὅσα γέ ἐστι τὰ ἐν τῷ Οὐρανῷ
καὶ πάντα τὰ ἐπὶ τῆς γῆς καὶ τὰ ἐν τρίβοις θαλασσῶν,
ἐν πάσαις ταῖς ἀβύσσοις τε.
Καὶ τῶν ἐπὶ τῶν λίθων τε κτισμάτων τῶν οὑτινοσοῦν
εἰς μέρος οὐ προσφύεται καὶ μέρει τι συνέχεται
καὶ προσημμένα τέ εἰσι ἀλλήλοις εἰμὴ ταύτῃ γε
διατηρεῖται ἐς ἀεὶ ὑπὸ τοῦ Λόγου τοῦ Θεοῦ
δι' οὗ τὰ πάντα γέγονε.
Σοῦ ἄρ' ἐχοίμην Ἰησοῦ ἀπρὶξ ἀναποσπάστως τε,
ἵνα καὶ συντηροίης με τὸν ἄθλιον σωζόμενον·
καὶ γάρ Σοῦ ἀπομακρυνθεὶς διεφθειρόμην ἂν ἐγὼ
καὶ ἀπωλόμην καθ' αὑτόν, εἰμὴ ὁ πλαστουργήσας με
φθάσας Αὐτὸς ἀνέπλασας.
Ἀλλὰ ἐγὼ μὲν ἥμαρτον, Σὺ δ' ἐπεσκέψω με Χριστέ·
ἐγὼ ὁ τάλας πέπτωκα, Σὺ Λόγε με ἀνέστησας·

ἐγὼ μωρὸς ἠγνόησα, Σὺ δὲ με ἐξεπαίδευσας·
ἐγὼ πεσὼν ἐσκότισμαι, Σὺ Λόγε με ἐφώτισας.

ΚΕΦΑΛΑΙΟΝ Ζ'

Περὶ τῶν πολλαπλασίων τοῦ Θεοῦ περὶ τὸν ἄνθρωπον εὐεργετημάτων.

Δεῖξόν μοι, ὁ Κύριός μου, ὅσον ἀγαπᾶν ὁ τάλας
καὶ Σὲ ἀνυμνεῖν ὀφείλω. Γνώρισόν μοι, ὁ Θεός μου,
πῶς με δεῖ εὐαρεστεῖν σοι. Βρόντησον ἀπὸ τοῦ ὕψους
Κύριε φωνῇ μεγάλῃ εἰς τὸ οὖς ἐμῆς καρδίας,
Σύ με δίδαξον καὶ σῶσον καὶ ὑψώσω Σε τὸν κτίστην
τὸν ἀρχῇ μηδὲν με ὄντα εἰς τὸ εἶναι κτίσαντά με,
τὸν φωτίσαντα ἐν σκότει πρότερον διάγοντά με,
τὸν ἐξαναστήσαντά με ἁμαρτίαις νεκρωθέντα,
τὸν ἀπὸ νεότητός μου ἀγαθοῖς ἐκθρέψαντά με
καὶ δωρήμασιν ἀρίστοις ἔτι νῦν ἐκτρέφοντά με,
ὄντα σκώληκα ἀχρεῖον τὸν ἐκσεσηπότα ὅλον
ἐν μυρίαις ἁμαρτίαις τὸν ἀπόζοντα δὲ ἤδη.
Ὦ ἡ κλεὶς διάνοιξόν μοι, τοῦ Δαυῒδ ἡ κλεὶς ἡ θεία,
ἄνοιξόν μοι ὁ ἀνοίγων καὶ οὐδεὶς ἔσται ὁ κλείων
ᾧ ἂν Σὺ ἀνοῖξαι θέλῃς· καὶ ὁ κλείων οὗ τις ἔσται
οὐδὲ εἷς ὁ διανοίξων, ᾧ περ ἂν Σὺ κλεῖσαι θέλῃς.
Ἄνοιξόν μοι Σὺ τὴν θύραν τοῦ φωτός σου ὡς εἰσέλθω
ὅπως ἴδω, ἐπιγνῶ, καὶ ἐξομολογήσωμαί σοι

ἀπὸ μέσης μου καρδίας, ὅτι ἄφατον ὑπάρχει ἐπ' ἐμὲ τὸ ἔλεός σου καὶ ἐρρύσω τὴν ψυχήν μου ἀπὸ ᾅδου κατωτάτου. Ὁ Θεὸς ὁ Κύριός μου πόσον θαυμαστὸς καὶ μέγας καὶ ὑπερδεδοξασμένος ἐπὶ πᾶσαν γῆν ὑπάρχεις! Ὁ δὲ ἄνθρωπος τίς ἐστιν, ὅτι Σὺ αὐτοῦ μιμνήσκει, ἢ τὶς ὁ υἱὸς ἀνθρώπου, ὅτι αὐτὸν Σὺ ἐπισκέπτει; Ἡ Ζωὴ ἡ τῆς ψυχῆς μου δι' ἧς ζῶ δι' ἧς κινοῦμαι, καὶ ἧς ἄνευ ἐγὼ θνήσκω· φάος τὸ τῶν ὀφθαλμῶν μου δι' οὗ βλέπω καὶ γινώσκω ἀβλεπτῶ δὲ ἄνευ τούτου.
Ἡ χαρὰ ἐμῆς καρδίας Σὺ εἶ καὶ ἡ εὐφροσύνη Λόγε ἡ τοῦ πνεύματός μου· ἀγαπήσω Σε ἐν ὅλῃ τῇ καρδίᾳ καὶ ἐξ ὅλης τῆς ἰσχύος μου Σωτήρ μου καὶ τοῖς ἐνδοτάτοις σπλάγχνοις, ὅτι Σὺ ἠγάπησάς με πρῶτος ὁ δημιουργός μου.

—

Ὦ ποιητὰ τοῦ Οὐρανοῦ, τῆς γῆς καὶ τῆς ἀβύσσου, ὅς τῶν ἀγαθῶν μου οὐδαμῶς Σὺ χρείαν ἔχεις ὡς Θεός, πόθεν μοι τοῦτο Κύριε ὅτι ἐμὲ ἠγάπησας; ὢ ἡ σοφία τοῦ Θεοῦ ἡ τῶν ἀλάλων εὔλαλον τὸ στόμα ἀναδείξασα! Ὦ Λόγε δι' οὗ ἅπαντα τὰ κτίσματα ἐγένετο! Σὺ μοῦ τὸ στόμα ἄνοιξον, φωνὴν δὲ σῆς αἰνέσεως Σὺ ἀγαθὲ παράσχου μοι, ἵνα τῶν εὐεργεσιῶν τῶν σῶν ἐκδιηγήσωμαι τὸ πλῆθος, ἅς μοι, Κύριε, ἐδαψιλεύσω ἐξ ἀρχῆς. Ἰδοὺ ὑπάρχων γάρ εἰμι, ὅτι Σὺ μὲ ἐποίησας καὶ Σύ ἐμὲ διέπλασας καὶ τοῖς λοιποῖς ποιήμασι κἀμὲ συγκατηρίθμησας. Σὺ ἐξ αἰῶνος ἀπ' ἀρχῆς

τοῖς οὖσι μὲ προώρισας πρὸ τοῦ ἐκτεῖναι οὐρανοὺς πρὸ τοῦ ποιῆσαι κτίσμα τι·οὔπω δὲ ἦσαν ἄβυσσοι, οὐ καθειστήκει δὲ ἡ γῆ, οὐδὲ τεθεμελίωτο τὰ ὄρη πάντα οἱ βουνοί, οὐδ' ἐξερράγησαν πηγαί. Πρὸ τοῦ ποιῆσαι πάντα Σε, ἃ λόγῳ Σου ὑπέστησας τῶν δημιουργημάτων σου κατὰ τὴν ἀσφαλῆ τῆς Σῆς αὐταληθείας πρόνοιαν κἀμὲ προέγνως Κύριε καὶ ἔσεσθαι ἠθέλησας.

—

Τοῦτο δὲ ἄρα πόθεν μοι Θεέ μου ὑπεράγαθε Κύριε, ὑπερύψιστε Πατὴρ τῶν θείων οἰκτιρμῶν τοῦ κόσμου μόνε ποιητά, Κύριε παντοδύναμε, πανεύφημε, πανεύσπλαγχνε; τίς ἀξιότης ἐν ἐμοί; τί δὲ ἡ χάρις ἡ ἐμὴ ἐνώπιον, Θεέ, τῆς σῆς θείας μεγαλειότητος ἀπείρου τε λαμπρότητος, δι' ἣν δημιουργῆσαί με ὡς ἀγαθὸς ηὐδόκησας; οὐκ ἤμην μὲ παρήγαγες, ἤμην μηδὲν τοῦ μηδενός, εἶναί μέ τι ἐποίησας· ὁποῖον δέ τι, Κύριε; οὔκουν σταγόνα ὕδατος, οὐ πῦρ, οὐκ ὄρνιν, οὐκ ἰχθύν, οὐχ ἑρπετόν, οὐ κτῆνός τι, οὐ λίθον, οὐ δὲ ξύλον τι, οὐκ ἐκ τοῦ γένους τῶν κτιστῶν, ἃ μόνον ἔχει ὕπαρξιν οὐδὲ ἐξ ὧν τὸ δύνασθαι καὶ αὔξειν μόνον κέκτηται, οὐδὲ ἐξ ὧν καὶ εἶναί τε καὶ αὔξειν καὶ αἰσθάνεσθαι, ἀλλ' ὑπὲρ ἅπαντα αὐτὰ καὶ ἐξ ἐκείνων εἶναί με ποιῆσαι ἠβουλήθης σύ, ἃ καὶ ἐστιν ὅ,τι εἰμί· καὶ ἐξ ἐκείνων, ἅ ἐστι, καὶ αὔξει ὥσπερ καὶ ἐγὼ καὶ ἐξ ἐκείνων, ἅτινα καὶ εἶναι ἔχει, αὔξειν τε καὶ φύσιν τοῦ αἰσθάνεσθαι, ὅ,τι περ καὶ ἐγώ εἰμι

καὶ αὔξω καὶ αἰσθάνομαι, κἀμὲ βραχὺ ἠλάττωσας
παρὰ ᾿Αγγέλους Κύριε, ὅτι κοινῇ με σὺν αὐτοῖς
καὶ λογικῆς δυνάμεως ἐπὶ τῷ Σε γινώσκειν με
μετέσχον, Λόγε,παρὰ Σοῦ. Βραχὺ δὲ τῶν ᾿Αγγέλων τι
ὅτι ἐκεῖνος μὲν τῆς σῆς παμμακαρίας γνώσεως
ἐν εἴδει ἀπολαύουσιν, ἐγὼ δὲ δι᾿ ἐλπίδος νῦν,
ἐκεῖνοι μὲν πρὸς πρόσωπον Σὲ καθορῶσι πρόσωπον,
ἐγὼ δὲ ἐν ἐσόπτρῳ νῦν καὶ ὥσπερ δι᾿ αἰνίγματος,
πεπληρωμένως μὲν αὐτοί, ἐκ μέρους δὲ μόνον ἐγώ.

ΚΕΦΑΛΑΙΟΝ Η΄.

Περὶ τῆς ἐν τῷ μέλλοντι ἀξίας τοῦ ἀνθρώπου

᾿Αλλὰ ὁπόταν, Κύριε,τὸ τέλειον ἐπέλθῃ,
τότε καταργηθήσεται τὸ ἤδη τὸ ἐκ μέρους
καὶ τότε τὸ σὸν πρόσωπον ἀνακεκαλυμμένῳ
προσώπῳ ἐποψόμεθα· καὶ τί τὸ τηνικαῦτα γὰρ
κωλῦσον τοῦ μηδὲ βραχύ τι παρ᾿ ᾿Αγγέλους γε ἡμᾶς
ἐπελαττοῦσθαι, οὓς αὐτὸς ἂν καταστέψας Κύριε
τῷ τῆς ἐλπίδος τῆς καλῆς ὡραίῳ διαδήματι
και δόξῃ καὶ πολλῇ τιμῇ ἐν αἷς ἐπαγλαΐζεται
ἡ μακαρία βιοτή, οἷα σοὺς φίλους ὁ Θεὸς
τιμήσαις μεγαλοπρεπῶς ; μᾶλλον δ᾿ὁμοίους καὶ αὐτοῖς
τοῖς ἀγαθοῖς ᾿Αγγέλοις σου καὶ ἰσοτίμους ἐντελῶς
Σὺ ἀναδείξαις, Κύριε; ᾿Αμέλ᾿ ἡ σὴ ἀλήθεια

καὶ τόδε ἐπηγγείλατο, ὅτι «ὡς ῎Αγγελοι Θεοῦ
καὶ ὡς υἱοὶ Θεοῦ εἰσι»· πῶς γὰρ οὐχὶ υἱοὶ Θεοῦ
εἴπερ ἰσάγγελοί εἰσιν ; υἱοὶ Θεοῦ δὲ ἔσονται
ὅτι ὁ τοῦ Θεοῦ υἱὸς υἱὸς ἀνθρώπου γέγονεν.
Τοῦτ᾿ οὖν λογιζομένῳ μοι ἔπεισι λέγειν ὡς οὐχὶ
βραχύ τι ἧσσων ἄνθρωπος παρὰ ᾿Αγγέλους γέγονεν
οὐ δήπου γὰρ ἴσος ἐστὶν ᾿Αγγέλοις ἀλλ᾿ ὑπέρτερος
καὶ τῶν ᾿Αγγέλων ἀληθῶς. ῾Ο γάρ τοι ἄνθρωπος Θεὸς
καὶ ὁ Θεὸς ἐγένετο ἄνθρωπος καὶ οὐκ ῎Αγγελος.

—


Διὰ δὴ τοῦτ᾿ ἐρῶ ἐγὼ τὸν ἄνθρωπον γενόμενον
κτισμάτων ἐντιμώτατον· ῾Ο Λόγος γὰρ ὃς ἦν Θεὸς
πρὸς τὸν Θεὸν ἦν ἐν ἀρχῇ, δι᾿ οὗ τὰ πάντ᾿ ἐν ἀρχῇ
ἐποίησεν ὡς δυνατός,ὃς εἶπε γενηθήτω φῶς
(ἡ φύσις ἡ ἀγγελική), ὁ Λόγος σὰρξ ἐγένετο
καὶ ἐν ἡμῖν ἐσκήνωσεν καὶ δὴ ἐθεασάμεθα
τὴν δόξαν τὴν θεοπρεπῆ δόξαν υἱοῦ μονογενοῦς
χάριτος οὖσαν ἔμπλεον καὶ ἀληθείας ὡς Θεοῦ·
ἰδοὺ ἡ δόξα ὑπὲρ ἧς ὡς ἄνθρωπος μέγα φρονῶ
ἐν ᾧ τυγχάνω εὖ φρονῶν. ῎Ιδοὺ δὲ ἡ ἐμὴ χαρὰ
ἐν ᾗ καὶ χαίρω ὅτ᾿ ὀρθῶς χαίρων εἰμὶ ὡς ἄνθρωπος.
῏Ω Κύριέ μου καὶ Θεὲ ἡ δόξα τῆς ἐμῆς ψυχῆς,
Σὺ εἶ ζωή μου καὶ χαρά.
Σοὶ ἐξομολογοῦμαι νῦν τῷ ποιητῇ μου καὶ Θεῷ
τῷ μετασχόντα λόγου τε καὶ νοῦ πεποιηκότι με
καὶ ἴσον ἀμωσγέπως με ᾿Αγγέλοις τοῖς ἐν Οὐρανοῖς
ἐμὲ δημιουργήσαντι, διὸ καὶ τελειοῦσθαί με
διὰ τοῦ θείου λόγου σου ταῖς ἀρεταῖς δυνάμενον,

ὡς καὶ εἰς τὴν ἰσότητα τὴν τῶν Ἀγγέλων σου Θεὲ
μὲ ἐφικέσθαι δύνασθαι καὶ τῆς Υἱοθεσίας δὲ
ἀξιωθῆναι σοῦ Υἱοῦ καὶ Λόγου τοῦ ἀγαπητοῦ
ἐν ᾧ Θεὲ ηὐδόκησας τοῦ κληρονόμου σὺν ἐμοὶ
ὁμοουσίου συμφυοῦς Λόγου συναϊδίου σοι
Κυρίου Ἰησοῦ Χριστοῦ τοῦ λυτρωτοῦ Θεοῦ ἡμῶν
τοῦ ἀστραπαῖς φωτίζοντος παρακαλοῦντός τε ἡμᾶς
συνηγοροῦντός τε ἡμῖν ἀδιαλείπτως παρά σοί.
ὅς ἐστι φῶς ἀνέσπερον τῶν ἡμετέρων ὀφθαλμῶν
ἡ σωτηρία τε ἡμῶν καὶ ἡ ἐλπὶς καὶ ἡ ζωή.
ὅστις ἡμᾶς ἠγάπησεν μᾶλλον ἢ ὅσον ἑαυτόν.
δι᾽ οὗ τὸ θάρρος ἔχομεν τὸ παρὰ σοὶ φιλάνθρωπε
βεβαίαν τε καὶ ἀκλινῆ καὶ σταθερὰν πεποίθησιν
καὶ τῆς προσαγωγῆς πρὸς σὲ τυχεῖν καταξιούμεθα.
«ἔδωκεν ἐξουσίαν γὰρ γενέσθαι τέκνα τοῦ Θεοῦ
πᾶσι τοῖς εἰς τὸ ὄνομα αὐτοῦ ὀρθῶς πιστεύουσιν».
Αἶνον τῷ ὀνόματί σου τοιγαροῦν ἀνταποδώσω
Κύριε καὶ ποιητά μου ὅτι κατὰ σὴν Εἰκόνα
κτίσας καὶ ὁμοίωσίν Σου τηλικαύτης θείας δόξης
δεκτικὸν ἐποίησάς με, ὥστε καὶ Υἱόν γενέσθαι
δύνασθαι σοῦ τοῦ Θεοῦ μου· τοῦτο δήπου τὰ φυτὰ γὰρ
οὐχὶ δύναται γενέσθαι, οὐχ οἱ λίθοι, οὐκ ἐν γένει
τῶν ἐν γῇ τῶν ἐν ἀέρι ἐν θαλάσσει κινουμένων
οὐδὲν τῶν αὐξανομένων τοῦτο δύναται γενέσθαι.
Οὐ γὰρ ἔδωκεν ὁ Λόγος καὶ αὐτοῖς τὴν ἐξουσίαν
τέκνα τοῦ Θεοῦ γενέσθαι ἀμοιρήσασι καθ᾽ ὅλου
τῆς δυνάμεως τοῦ λόγου τοῦ καθολικεύειν κρίνειν
σκέπτεσθαι διανοεῖσθαι καὶ κατανοεῖν τὸ θεῖον

καὶ αἰνεῖν ἐν ἐπιγνώσει καὶ λατρεύειν καὶ δοξάζειν.
Ἡ τοιαύτη δύναμις γὰρ ἐν συνέστηκε τῷ Λόγῳ,
δι᾽ οὗ Σὲ Θεὸν τῶν ὅλων ποιητὴν κατανοοῦμεν
καὶ ἐπιγινώσκομέν Σε. Μόνοις τοίνυν τοῖς ἀνθρώποι
ἐχαρίσω τὴν τοῦ Λόγου δύναμιν τὴν ἐξαισίαν,
πεφυκέναι λογικοὺς δὲ κατ᾽ εἰκόνα ὑπεστήσω
καὶ ὁμοίωσιν ἰδίαν.
Ἄνθρωπός εἰμι κἀγὼ δὲ Κύριε τῇ χάριτί Σου
καὶ Υἱός τε κατὰ χάριν σὸς νῦν δύναμαι γενέσθαι,
ὅπου ὅλως ὑστεροῦσι καὶ οὐ δύνανται ἐκεῖνα.

—

Πόθεν μοι τοῦτο, Κύριε, ὅστις ἡ ἀκροτάτη εἶ
καὶ μόνη αὐταλήθεια, καὶ ἡ ἀληθεστάτη δὲ
ἀκρότης πέλεις, Κύριε, καὶ ἡ ἀρχὴ τῆς κτίσεως
ἁπάσης; πόθεν μοί ἐστι, τοῦτο ἐμοὶ τὸ δώρημα;
πόθεν ἐμοὶ τὸ δύνασθαι τὸ σὸν υἱὸν γενέσθαι με,
ὅπερ ἐκεῖν᾽ ἀδυνατεῖ; Σὺ εἰς αἰῶνα μένων γὰρ
συνάμα πάντ᾽ ἐποίησας, ἀνθρώπους, κτήνη, ψυχα
λίθους καὶ ξύλα τὰ τῆς γῆς. Οὐ δήπου ἀξιότης τις
προενυπῆρχεν ἐν αὐτοῖς, οὐδέ τις χάρις ἐν αὐτοῖς
φθάσασα προηγήσατο· ἐκ γὰρ τῆς ἀγαθότητος
μόνης τῆς σῆς πάντ᾽ ἔκτισας· κτισμάτων τῶν ἁπάν
ἢ κτίσματα ὑπάρχουσιν, ἡ κτίσις ἰσοστάσιος [ἴων γάρ
καὶ ἡ ἀξία ἡ αὐτὴ ἦν οὐδεμία οὐδενός.
Καὶ πόθεν ἄρα ἐν ἐμοὶ τῷδε τῷ κτίσματι τῷ Σῷ
ᾧ λόγον Σὺ μετέδωκας, καὶ μᾶλλον ἢ ἐν τοῖς λοιποῖ
ἃ ἄλογα πεφύκασιν, ἐναπεφάνθη Κύριε
ἡ ἄκρα ἀγαθότης σου; τί οὐ κἀγὼ ὁ ἄνθρωπος



ὥσπερ ἐκεῖνα γέγονα; ἢ τί κἀκεῖνα ὡς ἐγὼ
οὐχὶ ἐγένοντο Θεέ; ἢ μόνος ὡς ἐκεῖνα οὐ
γέγονα κτῆνος ἄλογον; τί τὸ ἐμὸν ἀξίωμα,
ἢ τίς ἡ χάρις ἐν ἐμοί; ἵνα ποιήσῃς ἔχειν με
γενέσθαι τοῦ Θεοῦ Υἱόν, τοῖς δ' ἄλλοις ἀπονάσῃς Σύ;
Θεέ, τῷ οὕτω μὲ φρονεῖν ἡ θεία μόνη χάρις Σου
μόνη ἡ ἀγαθότης Σου τοῦτό γε διεπράξατο,
ὥστε με τῆς χρηστότητος τῆς Σῆς γενέσθαι μέτοχον.
Τὴν χάριν ἄρα, ἣ κἀμὲ τοιοῦτόν με παρήγαγες
τοῦ μηδενὸς, παράσχου μοι αὐτὴν νῦν δεομένῳ Σου,
ὥστε σοὶ ἐπὶ τούτῳ δὴ ἔχειν, ἢ δέον Κύριε,
ἀπαύστως σοι εὐχαριστεῖν.

ΚΕΦΑΛΑΙΟΝ Θ'

Περὶ τῆς τοῦ Θεοῦ Παντοδυναμίας.

Ἡ πανσθενής Σου δεξιά, Κύριε, οὖσα ἡ αὐτὴ
εἰς τὸν αἰῶνα ἐς ἀεί, ἐν Οὐρανῷ μὲν ἔκτισε
τὰς τάξεις τὰς Ἀγγελικάς, ἐπὶ τῆς γῆς δὲ σκώληκας,
οὔθ' ὑπερτέρα πέλουσα οὔθ' ὑποδεεστέρα πως
ἐν τοῖς δημιουργήμασιν. Ὡς γὰρ οὐκ ἄν τις ἄλλη χεὶρ
Ἄγγελον κτίσ' ἰσχύσειε, οὕτως οὐδὲ σκωλήκιον·
ὥσπερ οὐχὶ τὸν Οὐρανὸν, οὕτως οὐδὲ παραγαγεῖν
φύλλον φυτοῦ σμικρότατον· ὥσπερ οὐκ ἂν δυνήσειαι
τὸ σῶμα πλάσαι, οὕτως οὐδ' ἂν μίαν τρίχα μέλαιναν

ἢ καὶ λευκὴν ποιήσειεν· ἀλλὰ ἡ παντοδύναμος
χείρ Σου, ἥτινι δυνατά ἐστιν ἐπίσης ἅπαντα.
Οὐ γάρ τι μᾶλλον παρὰ σοὶ ἢ ἧττον δυνατόν ἐστι
κτίσαι ὅ,τι ἂν βουληθῇς, σκωλήκιον ἢ Ἄγγελον,
ἐκτεῖναι Οὐρανὸν αἰπύν, ἢ φύλλον· οὐδὲ ῥᾴδιον
μορφῶσαι τρίχα ἢ αὐτὸ τὸ σῶμα τὸ ἀνθρώπινον·
οὐδέ Σοι δυσχερέστερον τὴν γῆν ἐπὶ τοῖς ὕδασι
ἑδράσαι τῇ δυνάμει Σου· ἀλλ' ὅσα ἂν ἠθέλησεν
ἐν Οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις πάσαις τε
ἀβύσσοις ἀπειργάσατο ἡ χείρ Σου ἡ πανσθενουργός.
κἀμὲ δὲ ὡς ἠθέλησεν, ἐδύνατο, ἠπίστατο
μορφώσασα ἐποίησεν· ἠδύνατο ἡ χείρ Σου γάρ,
Κύριε, λίθον, ὄφιν με, ἢ ὄρνιν ἢ καὶ ὅ,τι περ
ἄλλο ποιῆσαι, κτῆνός με, ἀλλ' ἠβουλήθη ἄνθρωπον,
ὃν λογικὸν ποιῆσαί με δι' ἄκραν ἀγαθότητα·
τούτου γε ἕνεκεν ἐγὼ οὐ λίθος, οὐ φυτόν εἰμι,
οὐ κτῆνος, ἀλλὰ ἄνθρωπος· ἡ ἀγαθότης γὰρ ἡ σὴ
οὕτω πως διετάξατο· εἰς δὲ τὸ διατάξασθαι
Σὲ οὕτως, ἐν ἐμοὶ οὐδὲν ἄξιον προηγήσατο.

ΚΕΦΑΛΑΙΟΝ Ι'

Περὶ τῆς ἀκατανοήτου θείας αἰνέσεως.

Ὢ πόθεν μοι πρὸς αἴνεσιν οἱ ὕμνοι σου καὶ αἱ ᾠδαί;
πόθεν μοι τοῦτο, Κύριε; ὥσπερ γάρ με ἐποίησας

ἄνευ ἐμοῦ, καθάπερ Σύ, δημιουργέ, ηὐδόκησας,
οὕτως μου καὶ ἡ αἴνεσις πρὸς Σέ, Θεέ, χωρὶς ἐμοῦ,
κατ' εὐδοκίαν δὲ τὴν σὴν ἐστὶν σου κατενώπιον.
Ἡ αἴνεσις γὰρ ἡ πρὸς Σὲ αὐτὸς Σὺ εἶ ὁ Κύριος·
Σὲ πάντα αἰνεσάτωσαν τὰ ἔργα τῆς σοφίας Σου
κατὰ τὸ πλῆθος ὁ Θεὸς τὸ τῆς μεγαλωσύνης Σου·
ὁ γάρ σου αἶνος, Κύριε, ὑπάρχει ἀκατάληπτος·
οὐ γὰρ μετρεῖται στόματι καὶ τῇ καρδίᾳ δὲ αὐτῇ
ἐστὶν ἀπερινόητος, οὐ προσλαμβάνετ' ἀκοῇ·
παράγει πάντα ταῦτα γάρ, ἡ δ' αἴνεσίς Σου, Κύριε,
εἰς τὸν αἰῶνα ἅπαντα ὡς ἄφθιτος διαμενεῖ.
Ὁ λογισμὸς ἀπάρχεται καὶ καταλήγει λογισμός·
καὶ ἡ φωνὴ δὲ ἐξηχεῖ, καὶ ἡ φωνὴ παρέρχεται·
ἀκούει οὖς, ἡ δ' ἀκοὴ συγχρόνως καταπαύεται,
ἀλλὰ ὁ αἶνός Σου, Θεέ, εἰς τὸν αἰῶνα ἕστηκε.

—

Τίς οὖν αἰνέσει Σε, Θεέ, ἢ τίς τὴν αἴνεσιν τὴν σὴν
ἀναγγελεῖ ἀείμνηστε; Ἡ αἴνεσίς σου γάρ ἐστιν,
πανύμνητε αἰώνιος καὶ οὐ παρέρχεταί ποτε.
Ἐκεῖνος ὅμως Σε αἰνεῖ, ὅς ἑαυτὸν ἐπίσταται
πρὸς Σὴν ἱκέσθαι αἴνεσιν ὁλοτελῶς δυνάμενον·
ὢ αἰωνία αἴνεσις, μὴ παριοῦσα πώποτε!
ἐν σοὶ διὰ παντός ἐστιν ἡ ὕμνησίς μου ἡ θερμή·
ἐν σοὶ ἐπαινεθήσεται ἡ Σὲ αἰνοῦσά μου ψυχή.
Οὐχὶ ἡμεῖς, Θεέ, ἐσμὲν οἱ Σὲ ὑμνοῦντες ἐν ᾠδαῖς,
ἀλλὰ Σὺ σεαυτὸν ὑμνεῖς, καὶ διὰ Σοῦ τε καὶ ἐν σοί·
καὶ ἐν ἡμῖν ὁ ὕμνος δὲ ἐν σοὶ αὐτὸς διατελεῖ.
Τότε γὰρ ἀληθεύοντα ἡμεῖς τὸν ὕμνον ἔχομεν,

ὅταν παρὰ σοῦ ἔχωμεν, ὅταν τὸ φῶς τὸ ἄυλον,
τὸ φῶς ἐγκρίνῃ ἐν ἡμῖν.
Σὺ ὑποβάλλεις γὰρ ἡμῖν τὴν αἴνεσιν τὴν ἀληθῆ,
ὁ αἶνος ὁ ἀληθινός·
ὁσάκις παρ' ἑτέρου γὰρ ἢ παρὰ Σοῦ οἱ ἄνθρωποι
ἐπιζητοῦμεν αἴνεσιν, τοσάκις καὶ τοῦ αἴνου σου
ἡμεῖς ἀποτυγχάνομεν. Ὁ μὲν γὰρ παρερχόμενος,
ὁ δὲ αἰώνιός ἐστιν. Ἐὰν τὸν παρίοντα οὖν
αἰτῶμεν, ἀποπίπτομεν αἴνου τοῦ αἰωνίζοντος.
Ἐὰν δὲ τὸν αἰώνιον αἶνον ζητῶμεν παρὰ σοῦ,
μὴ αἶνον τὸν παράγοντα ἐν βίῳ ἀγαπήσωμεν.
Ὢ ὕμνε προαιώνιε! Κύριε παντευλόγητε,
ὑφ' οὗ ἡ πᾶσα αἴνεσις, οὗ ἄνευ αἶνος οὐδὲ εἷς,
οὐ δύναμαι Σοῦ ἄνευθεν Σὲ ἀνυμνεῖν, δημιουργέ.
ἔχοιμι καὶ αἰνέσω σε· τίς γὰρ κατ' ἐμαυτὸν ἐγώ,
Θεέ μου, ὡς αἰνέσαι Σε; χοῦς καὶ σποδός εἰμι ἐγὼ
καὶ κύων τεθνηκὼς ἐγώ, καὶ σκώληξ καὶ σαπρία τε·
ὢ τίς εἰμι ὁ δείλαιος, ὥστε καὶ ὕμνον ᾆσαί Σοι,
Κύριε τῶν δυνάμεων, Θεὲ ὑπερευλόγητε,
Πνευμάτων πάσης τε σαρκός, ἀθανασίαν ὁ οἰκῶν;

—


Μὴ ὑμνήσει τὸ φῶς ἡ σκοτία; τὴν ζωὴν δὲ ὁ θάνα-
[τος μήπως;
Σὺ τὸ φῶς εἶ, τὸ σκότος ἐγώ δέ, ἡ ζωὴ Σύ, ἐγὼ δὲ
[τὸ νέκος·
τὴν ἀλήθειαν μὴ ἐξυμνήσει ἡ πολλὴ ἐν ἐμοὶ ματαιότης;
ἡ ἀλήθεια Σὺ εἶ, ἐγώ δὲ ματαιότητι προσωμοιώθην.

Τί ὑμνήσω Σὲ ἄρα Θεέ μου; μὴ ὑμνήσει Σε ἡ ἀθλιότης;
μὴ ὑμνήσει Σὲ τὴν εὐωδίαν ἡ ἐμὴ χαλεπὴ δυσωδία;
μή τοι ἡ ἐν ἀνθρώπῳ θνητότης, τῷ ἀνθρώπῳ τῷ
[σήμερον ὄντι
αὔριον δὲ ἀφαρπαζομένῳ; μὴ ὑμνήσει Σε ἡ σαπρία,
ὁ υἱὸς τοῦ ἀνθρώπου ὁ σκώληξ; Μὴ ὑμνήσει Σε
[Κύριε πάντων
ὁ τεχθείς ἐν πολλαῖς ἁμαρτίαις; καὶ τραφεὶς ἐν δειναῖς
[ἀνομίαις;
Οὐχ ὡραῖος ὁ αἶνος ὑπάρχει ἐν τῷ στόματι τῶν ἁ-
[μαρτόντων·
αἰνεσάτω Σε, Κύριε, πάντων πανυπέρτατε ἡ δύνα-
[μίς Σου
ἡ ἡμῖν ἀκατάληπτος οὖσα· ἡ σοφία ἡ μὴ νοουμένη,
οἷα ἀπερινόητος οὖσα, ἡ Σοῦ ἄπειρος ἀγαθωσύνη
ἡ ἡμῖν ἀνερμήνευτος οὖσα.
Ἡ Χρηστότης Σου Σὲ αἰνεσάτω ἡ τὰ πάνθ' ὑπερ-
[έχουσα μέτρῳ
καὶ τὸ ἄπειρον ναὶ ἔλεός Σου, ἡ Θεότης καὶ ἡ δύ-
[ναμίς Σου
ἡ πρὸ πάντων ἐστὶ τῶν αἰώνων· αἰνεσάτω Σε δὲ ἡ
[ἰσχύς Σου,
αὕτη ἡ παντοκρατορική Σου
καὶ ἡ θεία Σου φιλανθρωπία, ἡ ἀγάπη Σου ἡ ἀκρο-
[τάτη
δι' ἧς ἔκτισας γένος ἀνθρώπων, ὁ Θεός, ἡ ζωὴ τῆς
[ψυχῆς μου.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄

Περὶ τῆς ἐλπίδος, ἣν δέον πρὸς Θεὸν ἀνατείνεσθαι.

Ἐγὼ τὸ ποίημα τὸ σὸν ὑπὸ τὴν τῶν πτερύγων Σου
σκέπην ἀπαύστως ἐλπιῶ, καὶ ἐν τῇ ἀγαθότητι
τῇ Σῇ δι' ἧς Αὐτὸς ἐμέ, Θεέ, ἐδημιούργησας.
Ἀντιλαβοῦ μου ὁ Θεὸς τοῦ κτίσματός Σου, δέομαι,
ὅπερ ἡ ἀγαθότης Σου παρήγαγ' ἐκ τοῦ μηδενός,
μὴ δὴ ἀπόληται, Θεέ, διὰ κακίαν τὴν ἐμὴν
ὅπερ ἡ εὐσπλαγχνία Σου ὑπέστησε, Πανάγαθε·
μὴ δὴ ἀπόληται ἐν τῇ ἐμῇ ἐλεεινότητι,
ὅπερ τὸ Σὸν ἐποίησεν ἄπειρον Θεῖον ἔλεος·
τί γὰρ ἐμοὶ τὸ ὄφελος τοῦ παρὰ Σοῦ ἐκτίσθαι με
ἐν τῷ με εἰς διαφθορὰν ἐν τάχει καταβῆναί με;
μὴ γὰρ ματαίως ὁ Θεὸς υἱοὺς ἀνθρώπων ἔκτισας;
Σύ, Κύριε, μὲ ἔκτισας, διεύθυνον τὸ κτίσμα σου·
ἔργον τῶν Σῶν χειρῶν εἰμι, μὴ ὑπερίδοις με, Θεέ.
Σὺ ἔκτισάς με ποιητὰ βουλήσει ἐκ τοῦ μηδενός,
ἐὰν μὴ κατευθύνῃς με, αὖθις ναὶ ἐπὶ τὸ μὴ ὂν
τάχει ἐπανελεύσομαι. Ὥσπερ γὰρ ἤμην τὸ οὐδὲν
καὶ ἐκ τοῦ μηδενὸς ἐμὲ Θείᾳ δυνάμει ἔκτισας,
οὕτως εἰ μὴ ὁ πλάσας με ἐν βίῳ κατευθύνεις με,
εἰς τὸ μὴ ὂν ὡς ἤμην πρὶν ἐπανακάμψω τάχιστα.



Κύριε, βοήθησόν μοι ἡ ἐλπίς μου ἡ ζωή μου,
ἵνα μὴ ἐν μοχθηρίᾳ τῇ ἐμῇ ἀπόλωμαί γε.
Εἰ μὴ Σὺ ὁ ποιητής μου ἔκτισάς με, οὐκ ἂν ἤμην·
ἤδη γὰρ εἰμὴ ἐπείπερ Σὺ ὁ πλάστης ἔκτισάς με·
ἂν γοῦν μή με διευθύνῃς, οὐ μὴ ἔσομαι ὑπάρχων.
Οὐχ ἡ ἀξιότης ὅλως ἡ ἐμὴ οὐδὲ ἡ χάρις
ἡ ἐμὴ προήγαγόν Σε εἰς τὸ κτίσαι με, Θεέ μου.
ἀλλ' ἡ ὑπεράγαθός σου, Κύριέ μου, ἀγαθότης
καὶ ἡ θεία εὐσπλαγχνία, ἡ αὐτὴ σοῦ ἀγαθότης,
Κύριε, καὶ εὐσπλαγχνία ἡ αὐτὴ αὕτη χρηστότης
κτίστα ἡ ἀναγαγοῦσα εἰς τὸ κτίσαι με, Θεέ μου,
ἡ αὐτὴ νῦν, δέομαί σου, Κύριε, ἀναγαγέτω
καὶ εἰς τό με κατευθῦναι.
Τίς γὰρ ἡ ὠφέλειά μου τοῦ κτισθέντα με ὑπὸ τῆς
σῆς πολλῆς ἀγαθωσύνης ἀπολέσθαι πάλιν αὖθις,
ἐπὶ τῆς ἐμῆς μεγάλης ἀθλιότητος ἰώ μοι,
τῆς σῆς θείας δεξιᾶς με μηδαμῶς κατευθυνάσης;
Κύριε, αὐτή σου αὕτη ἡ πολλή σου ἀγαθότης
τοιγαροῦν Σε κινησάτω εἰς τὸ διασῶσαι ἤδη
ἔργον σῆς δημιουργίας ἡ κινήσασά Σε, πλάστα,
εἰς τό με δημιουργῆσαι· οὐδὲ νῦν ἐστιν ἐλάσσων,
ὅτι Σὺ εἶ ὁ Θεός μου αὐτὴ ἡ αὐταγαθότης,
ὁ ἀεὶ αὐτὸς ὑπάρχων. Οὐ γὰρ ὅλως ἐβραχύνθη,
Κύριε, ὁ σὸς βραχίων, ὥστε μὴ ἀντιλαβέσθαι
καὶ μὴ ἔχειν κἀμὲ σῶσαι·
ἀλλ' οὐδὲ τὸ οὖς σου ὅλως, ὁ Θεός μου, ὑπημβλύνθη,
ὥστε μή με εἰσακούειν, ἀλλ ἐμοῦ αἱ ἀνομίαι
ἀνὰ μέσον ὑψωθεῖσαι διεχώρισαν ἐμοῦ Σε·

ἀνὰ μέσον μου τοῦ σκότους, καὶ Σοῦ τοῦ φωτὸς Θεέ μου·
ἀνὰ μέσον τοῦ θανάτου, καὶ ζωῆς τῆς αἰωνίου·
ἀνὰ μέσον τε τοῦ ψεύδους, καὶ αὐτῆς τῆς ἀληθείας·
ἀνὰ μέσον τῆς ζωῆς μου ταύτης δὴ τῆς σεληναίας,
καὶ ζωῆς τῆς ἀπεράντου καὶ τῆς διαιωνιζούσης,
τῆς ἐν σοί. δημιουργέ μου, ποιητά μου, λυτρωτά μου.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

Περὶ τῶν ἐξ ἐπιθυμιῶν παγίδων.

Τοῦτό μοι τῆς ἁμαρτίας τὸ κατακαλύπτον σκότος
ἐν τῇ ζοφερᾷ ἀβύσσῳ τοῦ δε τοῦ δεσμωτηρίου,
ἐν ᾧ κεῖμαι ἁμαρτήσας ἕως οὗ τὸ φῶς φωτίσῃ
καὶ ἡμέρα διαυγάσῃ, αἱ σκιαί τε βραχυνθῶσι,
γένηται φωνὴ δὴ τότε ἐν τῷ τῆς δυνάμεώς σου
στερεώματι ἠχοῦσα· «ἡ φωνὴ ἡ τοῦ Κυρίου τοῦ ὑ-
[ψίστου ἐν ἰσχύϊ
καὶ φωνὴ ἡ τοῦ Κυρίου ἐν τῇ μεγαλοπρεπείᾳ,
γενηθήτω φῶς φωνοῦσα, καὶ ἀποχωρείτω σκότος
καὶ ἡ γῆ ξηρὰ ὀφθήτω καὶ βοτάνην βλαστησάτω,
σπέρμα ἀγαθὸν προβάλλουσαν τὸ τῆς δικαιοσύνης
καὶ καρπὸν τῆς βασιλείας ἄξιον τῆς οὐρανίου».
Ὦ Θεὲ καὶ Παντοκράτορ Δέσποτά μου ποιητά μου,
ἡ ζωὴ δι' ἧς τὰ πάντα ζῇ ὑπάρχει καὶ κινεῖται

καὶ ἧς ἄνευ τεθνεῶτα καὶ νεκρὰ οἴομαι πάντα,
μή δή με ἐγκαταλίπῃς καταφέρεσθαι ἀπαύστως
εἰς ἀτόπους ἐνθυμήσεις μηδέ πως παραχωρήσῃς
ἀπρεπῶς ἐπαίρεσθαί με, Κύριε, ἐν ὀφθαλμοῖς μου.
"Αφελέ μου τὰς ἀτόπους καὶ ἀλόγους μου ὀρέξεις
καὶ διανοήμασι δὲ ἀχαλίνοις ἀναιδέσι,
Πάτερ, μὴ δὴ παραδῷς με.'Αλλὰ τὴν ἐμὴν καρδίαν
Σὺ κατάσχες, δέομαί σου, ὥστε σὲ διενθυμεῖσθαι
εἰς τὸν ἅπαντα αἰῶνα·
Φώτισον τοὺς ὀφθαλμούς μου τοῦ πρὸς Σὲ ἐνατενίζειν,
μὴ μετεωρίζεσθαί τε, Κύριε, ἐνώπιόν σου,
ὦ πρὸ τῶν αἰώνων δόξα! ἀλλ' ἐν ταπεινώσει πάσῃ
καὶ τελείᾳ συναισθήσει, μὴ ἐπαίροιντ' ἐν μεγάλοις
μηδ' ἐν θαυμασίοις ὅλως ὑπὲρ ἑαυτοὺς ὁρῷεν,
πρὸς δὲ ἵνα ἐπιβλέποιεν τὰ ἐκ τῶν δεξιῶν σου
καὶ μὴ τὰ ἐξ εὐωνύμων τὰ ἀπέχοντα ἀπό σου.
Καὶ τὰ βλέφαρα τὰ σὰ δὲ τῶν ἐμῶν διαβημάτων,
Κύριε, ἀεὶ ἡγείσθω· τὰ γὰρ βλέφαρά σου, Σῶτερ
παντεπόπτα, ἐξετάζει τοὺς υἱοὺς τοὺς τῶν ἀνθρώπων.
Κατακήλησόν μου, Πάτερ, διὰ τῆς γλυκύτητός σου
ἅπαν τὸ ὀρεκτικόν μου, τῆς γλυκύτητος ἐκείνης
ἧς αὐτὸς τοῖς φοβουμένοις Σε ἐτήρησας, Θεέ μου.
ἵν' ἀεὶ ἐπιποθείην τοῦ ἐπιθυμεῖν σε, πλάστα,
ἐν παντὶ καιρῷ καὶ χρόνῳ, ἐν ἁγναῖς ἐπιθυμίαις
ταῖς ἀεὶ αἰωνιζούσαις, μὴ ἡ ἐνδοτέρα γεῦσις
δι' ἐπαγωγῶν ματαίων κηλουμένη ἀδιαλείπτως
καὶ δὴ ἐξαπατωμένη, τὸ πικρὸν γλυκὺ ἐμφαίνοι
τὸ γλυκὺ πικρὸν δὲ πάλιν τοὐναντίον ἀποφαίνοι·


καὶ τὸ σκότος φῶς τιθείη, σκότος δὲ τὸ φῶς δεικνύοι,
ὥστε με ῥυσθῆναι ἔχειν διαβαίνοντα ἐν μέσῳ
κεκρυμμένων μοι παγίδων τῶν ἐμοὶ ἡτοιμασμένων
ὑπὸ τοῦ θηρεύοντός μοι τὴν ψυχὴν ἐχθροῦ δολίου
ἐπὶ τοῦ προσώπου πάσης τῆς ὁδοῦ ἐν ᾗ βαδίζω,
ὅπως τὰς ψυχὰς ἀγρεύῃ. Ὡς καθάπερ οὐ παρῆλθεν
ὁ ἑωρακὼς σιγήσας, εἶπε δὲ πᾶν τὸ ἐν κόσμῳ,
ἡ σαρκὸς ἐπιθυμία, ὀφθαλμῶν ἐπιθυμία
καὶ ἀλαζονεία βίου ἢ ἐκτύφωσις τοῦ βίου.

—

"Ιδε Κύριε ὁ κόσμος ἐστὶ πλήρης τῶν παγίδων
τῶν ἐν ταῖς ἐπιθυμίαις, ὧν ἡτοίμασαν ἐν βίῳ
τοῖς ποσί μου οἱ ἐχθροί μου· διαφεύξεται δὲ ταύτας
τίς βαδίζων ἐν τῷ κόσμῳ; πάντως, οὗ ἂν σὺ ἀφέλῃς
ἔπαρσιν τὴν τῶν ὀμμάτων, ὥστε μὴ ἀγρεύεσθαί πως
ὑπὸ τῆς ἐπιθυμίας τῆς τῶν ἑαυτοῦ ὀμμάτων,
καὶ ἀφ' οὗ ἂν Σὺ ἀφέλῃς τὴν ἐπιθυμίαν πᾶσαν
τῆς σαρκός, ὡς μὴ κρατεῖσθαι μηδ' ἁλίσκεσθαι παράπαν
ὑπ' ὀρέξεων σαρκίνων· καὶ ἀφ' οὗ ἂν σὺ ἀφέλῃς
τὸ τῆς ἀναιδείας πνεῦμα καὶ δὴ τὸ τῆς ἀφροσύνης,
ὡς ἂν μὴ δολίως τοῦτον ἡ ἐκτύφωσις τοῦ βίου
καί γε ἡ ἀλαζονεία πώποτε ἐκφενακίσῃ.
Ὡς εὐδαίμων λίαν πέλει, ᾧ ἂν σὺ οὕτω ποιήσαις!
διοδεύσεται γὰρ οὗτος ἀληθῶς ἐν ἀσφαλείᾳ·

—

Νῦν οὖν διὰ σοῦ, Σωτήρ μου, Σὲ θερμῶς καθικετεύω,
Σὺ ἐπάρηξόν μοι ἤδη καὶ μὴ πέσοιμι ὁ τάλας
πρὸ τῶν ἀντιφερομένων συλληφθεὶς ἐν ταῖς παγίσι,



ἃς δολίως τοῖς ποσί μου οὗτοι προητοίμασάν μοι,
ἵνα τὴν ψυχήν μου, Σῶτερ, κατακάμψωσιν ὡς σφόδρα.
ἀλλ᾽ ἐξάγαγέ με Σύ μου δύναμις τῆς σωτηρίας,
μὴ εἰς γέλωτά με θεῖεν παρὰ σφίσι, λυτρωτά μου,
οἱ ἐχθραίνοντες καὶ σοί γε καὶ μισοῦντές σε, Θεέ μου.
Ἐξεγέρθητι, Θεέ μου, καὶ ἡ χεὶρ ἡ δεξιά σου
ἐν ἐμοὶ κραταιωθήτω· διασκορπισθήτωσάν τε
οἱ ἐχθροί σου, ὁ Θεός μου, καὶ φυγέτωσαν ἐν τάχει
οἱ ἐχθροὶ οἱ σὲ μισοῦντες ἔμπροσθεν τοῦ σοῦ προ-
[σώπου!

«Ὡς ὁ κηρὸς ἐκτήκεται ἀπὸ προσώπου τοῦ πυρός,
οὕτως καὶ οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου Σου, Θεέ·
Ἐγὼ ἐν ἀποκρύφῳ δὲ τοῦ σοῦ προσώπου, Κύριε,
κρυφῇ ἀποκρυβήσομαι καὶ μετὰ τῶν υἱῶν τῶν σῶν,
Κύριε, εὐφρανθήσομαι καὶ πᾶσί σου τοῖς ἀγαθοῖς
τελείως χορτασθήσομαι».
Σὺ δ᾽ ὁ Θεός μου, Κύριε, Σὺ ὁ Πατὴρ τῶν ὀρφανῶν,
ἡ μήτηρ τῶν νηπίων σου, ἐπάκουσον, σοῦ δέομαι,
τῶν τέκνων τὸν ὀλοφυρμὸν καὶ τὰς ἁγίας πτέρυγας,
Θεέ μου, ἀναπέτασον, ἵν᾽ ὑπ᾽ αὐτὰς ἐν πειρασμοῖς
ταχέως καταφύγοιμεν ἀπὸ προσώπου τοῦ ἐχθροῦ.
Σὺ πύργος γὰρ ἰσχύος εἶ ὁ ἅγιος τοῦ Ἰσραὴλ
ὁ μὴ νυστάζων μηδ᾽ ὑπνῶν ἐν τῷ φυλάσσειν τοὺς
[πιστούς,
τὸν δοῦλον σου τὸν Ἰσραήλ, ὅτι ὁ ἀντιπολεμῶν
τὸν ἐκλεκτόν σου Ἰσραὴλ οὐχὶ νυστάζει, οὐχ ὑπνοῖ.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ′

Περὶ τῆς τοῦ ἀνθρώπου ἀθλιότητος καὶ τῶν τοῦ Θεοῦ εὐεργετημάτων.

Ὦ θεῖον φῶς τρισήλιον, τὸ ὑφ᾽ ἑτέρου τῷ φωτὶ
ὁρᾶσθαι μὴ δυνάμενον!
Ὦ σέλας τὸ μὴ θεατὸν ἑτέρῳ σελαγίσματι!
Ὦ φῶς τὸ ἅπαν ἕτερον τῇ αἴγλῃ φῶς καταζοφοῦν,
καὶ σέλας τὸ μαρμαρυγὴν ἑτέραν φάει ἐκτυφλοῦν.
Ὦ φῶς ἐξ οὗ τὸ ἅπαν φῶς προῆλθε καὶ ἐπέφανεν·
σέλας ἐξ οὗ σελάγισμα ἐν οὐρανῷ ἐξέλαμψεν,
πρὸς ὃ πᾶν σέλας σκοτεινὸν καὶ ζοφερὸν καθίσταται.
φάος ἐν ᾧ πᾶσα σκιὰ ὡς φωταυγὴ φαεσφορεῖ,
ἐκσελαγίζει πᾶσα δὲ καὶ ἀπαστράπτει ζόφωσις.
ὢ φάος τὸ ἀκρότατον, ὅπερ τυφλότης οὐ νεφοῖ,
ἀμβλύνει οὐχ ὁμίχλη τις, οὐδὲ ἀχλύς τις ἀμαυροῖ,
οὐκ ἀποφράττ᾽ ἀντίφραξις, οὐδὲ διαχωρίζει τις
ὅλως ποτὲ σκοτόμαινα. Φῶς τὸ φωτίζον σύμπαντα
καὶ ὅλα καὶ καθέκαστα ὁμοῦ καὶ ἅπαξ καὶ ἀεί,
κατάποθί με, Κύριε, ἐν τῷ βυθῷ τῆς αἴγλης σου,
ἵν᾽ ἴδοιμί σε πάντοθεν ἐν σεαυτῷ, φωτὸς πηγή,
ἴδω κἀμὲ αὐτὸν ἐν σοὶ καὶ ἅπαντα δὲ ὑπὸ σοῦ,
μὴ δὴ ἐγκαταλίποις με μὴ αἱ τῆς ἀφροσύνης μοι
ἐπαυξηθῶσιν αἱ σκιαὶ καὶ πληθυνθῶσι τὰ ἐμά,
Θεέ μου, παραπτώματα· σκιαί μοι πάντα γάρ εἰσι
[σοῦ ἄνευ φῶς Οὐράνιον,

κακά μοι πάντα πέλουσιν. Σοῦ ἄνευ, ἀγαθὸν οὐδέν,
τοῦ μόνου ἄκρου ἀγαθοῦ τοῦ μόνου τοῦ ἀληθινοῦ.

—

Ὁμολογῶ εἰλικρινῶς, ὁ Κύριος μου καὶ Θεός,
τοῦτ' εὖ εἰδὼς ἐπίσταμαι, ὡς ὅπου περ ἂν ὦ ἐγὼ
σοῦ ἄνευ, ἔστι μοι κακόν, οὐ μόνον μοι κακὸν ἐκτός,
ἀλλὰ καὶ ἐν ἐμοὶ αὐτῷ ἔνδοθεν ἔστι μοι κακόν.
πᾶσα περιουσία γὰρ ἥτις οὐκ ἔστιν ὁ Θεὸς
ἔνδεια αὕτη μοί ἐστιν. τότε γὰρ χορτασθήσομαι,
ὁπότε ἂν μοι ἐποφθῇ ἡ δόξα σου ἡ ἄπλετος,
Ἐπεὶ ἡ μακαρία μοι ζωὴ Σὺ εἶ ὁ Κύριος,
ἐφ' ᾧ τὴν ἀθλιότητα, καρδιογνῶστα, τὴν ἐμὴν
σοὶ ἐξομολογήσομαι· ἐξ ὅτου τῆς ἑνότητος
τῆς μετὰ σοῦ ἐκπέπτωκα, τοῦ ἀγαθοῦ ἐκπέπτωκα
τοῦ ἀκροτάτου τοῦ ἑνός· καὶ ἀπ' ἐκείνου ἔκτοτε
ἡ τῶν προσκαίρων ἔφεσις ποικίλη καὶ πολυειδής,
ἡ διὰ τῶν σαρκίνων μοι αἰσθήσεων προκύπτουσα,
ἐμὲ ἀπολισθήσαντα ὅλον διασκεδάσασα
εἰς πλεῖστα κατεμέρισεν, καὶ ἡ περιουσία μου
ἐγένετό μοι ἀχθηρά, ἡ δ' ἔνδεια τοῦ ἀγαθοῦ
ἦν ἄκρως πλεονάζουσα, ὡς μὴ εὑρίσκοντι πόσῶς
Σὲ ἐν ἐμοί, τὸ ἀγαθὸν τὸ μόνον ἀμετάβλητον,
τὸ ἑνιαῖον τὸ ἁπλοῦν μοναδικὸν ἀμέριστον,
ᾧ τινι παρακολουθῶν οὐ πλανηθείην ἂν ἐγώ,
οὗτινος δὲ ἐπιτυχὼν οὐκ ἀχθεσθείην ἂν ποτε,
ὃ κτησαμένου ὅλος μου ὁ πόθος κορεσθείη ἄν.

—

Ὢ τῆς ἀλλεπαλλήλου μου ἀμέτρου ἀθλιότητος.
Οἴ μοι, Θεέ, τῷ τάλανι, Σὲ μὲν ἀποδιδράσκει νῦν
ἡ παναθλία μου ψυχὴ μεθ' οὗ ἀείπερ εὕρηται
ἐν δαψιλείᾳ ἀγαθῶν ἀγαλλιάσει τε πολλῇ,
τῷ κόσμῳ δ' ἕπεται ἀεὶ μεθ' οὗ ἀείποτέ ἐστι
ἐν ἀπορίᾳ τῶν καλῶν καὶ ἐν ἐνδείᾳ παντελεῖ
καὶ ἐν ὀδύνῃ διαρκεῖ.
Ὁ κόσμος κράζει καὶ ἐγὼ ἐκλείπω ὁ ταλαίπωρος,
Σὺ κράζεις ὁ Εὐλογητὸς καὶ ἀναπνέω, Κύριε.
ἡ δὲ ἐμὴ ἐλεεινὴ ψυχὴ τῷ κόσμῳ ἕπεται
μᾶλλον, ὅστις ποιεῖ αὐτὴν ἐκλείπειν, ἢ τῷ ποιητῇ
ἀνακαλοῦντι ἑαυτῷ καὶ ἀναψύχοντι αὐτήν.
Αὕτη μου ἡ ἀσθένεια πρόδηλός ἐστιν, Ἰατρέ,
Σὺ μοί, Ὦ, ταύτην ἴασαι ὡς ἐξομολογήσωμαι
σοὶ τῷ σωτῆρι καὶ Θεῷ ἐξ ὅλης τῆς καρδίας μου
ὑπὲρ τῶν εὐεργεσιῶν, ἐν αἷς ἀπὸ νεότητος
ἕως βαθέως γήρατος ἐκτρέφεις καὶ πρεσβείου με.
Καθικετεύω τοίνυν Σε διὰ τὸ ὄνομα τὸ σὸν
τὸ θεῖον καὶ πανάγιον, μὴ δὴ ἐγκαταλίπῃς με!
μὴ ἀποστῇς τε ἀπ' ἐμοῦ, πρόσχες εἰς τὴν βοήθειαν,
Θεέ, τῆς σωτηρίας μου! Σὺ γὰρ ἐμὲ ἐποίησας
μὴ ὄντα μηδαμῶς ἐμέ. Σύ τέ με ἐξηγόρασας
ἀπολωλότα, Κύριε· καὶ ἀπωλόμην γὰρ ἐγὼ
καὶ ἐνεκρώθην, Κύριε, Σὺ δ' ἐπὶ τὸν νεκρὸν ἐμοῦ
κατῆλθες ὡς φιλάνθρωπος, εἵλου δ' ὑπὲρ ἐμοῦ θανεῖν.
Ἵνα δὲ ἐκλυτρώσῃς σὺ τὸν δοῦλόν σου ὁ βασιλεύς,
ἐλθὼν σαυτὸν παρέδωκας· ἵν' ἐγὼ ζήσω ὁ νεκρός,



νέκρωσιν καθυπέστης Σύ, καὶ ταπεινώσας σεαυτὸν τὸν θάνατον κατήργησας, ἐμὲ δὲ ἀνεζώωσας.

Ἀπωλόμην καὶ ᾠχόμην ἁμαρτήμασι δὲ πλείστοις ὁ παντλήμων ἐπεπράμην, Σὺ δ'ὑπὲρ ἐμοῦ κατῆλθες, ἵνα μὲ ἐξαγοράσῃς οὕτω δὲ ἠγάπησάς με ὡς ὑπὲρ ἐμοῦ Σε δοῦναι τίμημα ὑπὲρ τοῦ δούλου τὸ πανάγιόν σου αἷμα· διὰ τῆς θυσίας ταύτης τοῦ τοιούτου ἀντιτίμου ἐπανήγαγές με αὖθις Σὺ ἀπὸ τῆς ἐξορίας, ἐξερρύσω τῆς δουλείας, ἀπεξήρπασας δυνάμει τῆς μελλούσης τιμωρίας, προσηγόρασας δὲ τῷ ἰδίῳ με ὀνόματί σου, κατεσφράγισας δὲ αὖθις λόγῳ ἐν τῷ αἵματί σου, ἵνα τὸ μνημόσυνόν σου εἴη παρ' ἐμοὶ ἐμμένον εἰς τὸν ἅπαντα αἰῶνα, μηδὲ τῆς ἐμῆς καρδίας ἀποστῇς ὁ Κύριός μου ὁ μηδόλως ἀποστήσας τοῦ σταυροῦ σαυτὸν οἰκτίρμον δι'ἐμὲ τὸν νεκρωθέντα, τῷ αὐτῷ δέ, ᾧ ἐχρίσθης Σὺ αὐτὸς Σωτὴρ ἐλαίῳ, ἔχρισας κἀμέ, Χριστέ μου, ἵνα ἔχοιμι καλεῖσθαι παρὰ σοῦ τοῦ κεχρισμένου τοῦ Κυρίου Ἰησοῦ μου τοῦ Χριστοῦ μου καὶ Θεοῦ μου τῇ καλῇ προσωνυμίᾳ τοῦ χριστιανοῦ τῇ θείᾳ, οὐχὶ ὅπως δὲ καλεῖσθαι, ἀλλὰ σὺ ἀπέγραψάς με ταῖς χερσί σου, Ἰησοῦ μου, ἐφ' ᾧ διαμνημονεύειν ἐς ἀεὶ ἐμοῦ, Χριστέ μου, εἴπερ εἴην μεμνημένος αὐτὸς μόνον Ἰησοῦ μου σοῦ ἐνδελεχῶς ἐν βίῳ.


Οὕτω τοίνυν ἡ σὴ χάρις καὶ τὸ ἔλεός σου, Λόγε, πάντοτε προέφθασάν με καὶ δὴ ἀντελάβοντό μου.

Ἐκ πολλῶν δεινῶν κινδύνων ὁ Θεὸς ὁ λυτρωτής μου Σὺ πολλάκις μὲ ἐρρύσω, πλανηθέντα, λυτρωτά μου, αὖθις ἐπανήγαγές με ἐπὶ τὴν εὐθεῖαν τρίβον, ἀγνοοῦντά με τὰ θεῖα ταῦτα ἐξεπαίδευσάς με, ἁμαρτόντ' ἐπέπληξάς με, καὶ δεινῶς ἀνιαθέντα, Λόγε, μὲ παρεμυθήσω, ἀπογνόντ' ἐνίσχυσάς με καὶ πεσόντ' ἀνώρθωσάς με, καὶ ἱστάμενον Σύ, Σῶτερ, ἀεὶ ἐπεστήριξάς με, πορευόμενον δ' ἐν βίῳ, Λόγε, καθωδήγησάς με, καὶ ἐρχόμενον ἐκ πλάνης, Κύριε, μὲ προσεδέξω, καὶ καθεύδοντα ἐν κλίνῃ, Λόγε, διεφύλαξάς με, κεκραγότος δὲ ἐκ βάθους τῆς ψυχῆς εἰσήκουσάς μου.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

Ὅτι ὁ Θεὸς ἐπόπτης ἐστὶν ἀδιαλείπτως τῶν ἀνθρωπίνων καὶ πράξεων καὶ ἐννοιῶν.

Ταύτας δὴ τὰς εὐποιΐας καὶ πολλὰς καὶ ἄλλας πλείστας ἐμὲ πέρι ἐξειργάσω, Κύριέ μου, ὁ Θεός μου, ἡ ζωὴ ἡ τῆς ψυχῆς μου περὶ ὧν ἡδύ ἐστί μοι ἐς ἀεὶ ἐκδιηγεῖσθαι καὶ ἀεὶ ἀναπολεῖν με καὶ ἀεὶ εὐχαριστεῖν Σοι, ὡς ἐὰν ὑπὲρ ἁπάντων τῶν παρὰ Σοῦ ἀγαθῶν μου ἔχοιμι δοξολογεῖν Σε, ἀγαπᾶν ἀπὸ καρδίας, καὶ ἐξ ὅλης τῆς ψυχῆς μου,



καὶ τῆς διανοίας ὅλης καὶ ἐξ ὅλης τῆς ἰσχύος,
ἐξ αὐτῶν τῶν μυελῶν μου, καὶ ἁπάντων τῶν ἁρμῶν
Ὦ γλυκύτης ὑπερτάτη, θεία, μακαριωτάτη, [μου.
ὁ Θεὸς ὁ Κύριός μου καὶ ἐμοῦ καὶ πάντων, Λόγε,
τῶν ἐν Σοὶ εὐφραινομένων.
Ἀλλὰ γὰρ οἱ ὀφθαλμοί Σου εἶδον τἀκατέργαστόν μου
καὶ οἱ θεῖοι ὀφθαλμοί Σου οἱ φωτὸς ὄντες ἡλίου
φωτεινότεροι ἀπείρως ἐπιβλέπουσιν ἁπάσας
τὰς ὁδοὺς τὰς τῶν ἀνθρώπων, καὶ τὸ βάθος τῆς ἀ-
[βύσσου,
καὶ τοὺς πονηροὺς τοὺς ὄντας ἐν παντὶ καιρῷ καὶ τόπῳ,
καὶ τοὺς ἀγαθούς, Θεέ μου, ἐποπτεύουσιν ὡσαύτως.


—

Τὰ πάντα γὰρ εἶ ἐφορῶν καὶ πάντα εἶ αὐτὸς πληρῶν
καὶ πάντῃ καὶ ἁπανταχοῦ ἀείποτε σὺ εἶ παρών,
ἑκάστου τῶν κτισμάτων σου κηδόμενος ὡς ἀγαθός·
οὐδὲν γὰρ ὧν ἐποίησας μισεῖς ἢ ἀποστρέφεσαι·
ἔνθεν τοι δὴ καὶ τὰ ἐμὰ ἐτάζεις διαβήματα
καὶ καθορᾷς τὰς τρίβους μου καὶ ἐν ἡμέρᾳ καὶ νυκτὶ
ἐπὶ τῆς φυλακῆς μου Σὺ ἐγρήγορας καὶ τὰς ὁδοὺς
ἁπάσας μου Σὺ σημειοῖς, ὦ παντεπόπτ' αἰώνιε·
ὥσπερ ἂν εἰ καὶ οὐρανοῦ καὶ γῆς καὶ τῆς ὁλοσχεροῦς
θείων χειρῶν σου κτίσεως Σύ ἐπιλελησμένος ὤν,
ἐμοῦ δὴ μόνου τε αὐτοῦ καὶ μόνον ἐνετύγχανες
ἐμὲ ἐπισκεπτόμενος, καὶ μηδενὸς τῶν ἄλλων σὺ
λόγον ποτὲ ποιούμενος. Οὐδὲ γὰρ τῇ ἀτρέπτῳ Σου
σῇ ἐποπτεύσει, Κύριε, τὸ φῶς ἐπαύξει, ἐπὶ ἓν
σοῦ ἐφορῶντος, Κύριε, οὐδ' οὖν ὑπελαττοῦταί πως

τἆλλα τὰ ὑπὲρ ἀριθμὸν σοῦ Λόγε ἐπιβλέποντος.
Ὥσπερ τὸ σύμπαν ἅμα γὰρ τελείως ἐποπτεύων εἶ,
οὕτω καὶ τὰ καθ' ἕκαστον καίτοι διαφορὰς πολλὰς
πρὸς ἄλληλα δὴ ἔχοντα ὁμοῦ καὶ ἅμα ἅπαντα
ἐπὶ τὸ ἀκριβέστατον ἡ ὅλη τε καὶ μία σὴ
ὅρασις ἡ παντέφορος. Καὶ οὕτω μὲν τὰ σύμπαντα,
ὥσπερ τὸ ἓν σὺ ἐφορᾷς, οὕτω δὲ καὶ τὸ ἓν αὐτό,
ὥσπερ τὰ πάντα ἐφορᾷς ἅμα ἀδιαιρέτως τε
ἀμεταβλήτως καθορᾷς καὶ ἀμειώτως πάντοτε·
ταύτῃ δὴ τῇ ὁράσει Σὺ καὶ ὅλος καὶ ἐν ὅλῳ εἶ
τῷ χρόνῳ καὶ ἀχρόνως εἶ καὶ ὅλον ἅμα με αὐτὸν
καὶ ἐς ἀεὶ με ἐφορᾷς, ὡσανεὶ ἕτερον μηδὲν
πάρεξ ἐμοῦ, Λόγε, παρῆν ὥστε καὶ τοῦτο ἐφορᾶν.

—

Οὕτως οὖν ἐπὶ τῆς ἐμῆς ἐφέστηκας Σὺ φυλακῆς,
ὡς εἰ τῶν ἄλλων πάντων μὲν ἐπιλησθείης, Κύριε,
μόνῳ δὲ ἐθέλοις ἐπ' ἐμοὶ προσέχειν τῷ ἐλεεινῷ.
Ἀεὶ παρόντα γὰρ σαυτὸν παρίστης, Λόγε ἀγαθέ,
ἀεὶ δ' ἑτοίμως προσαντᾶν ἔχεις ἐμοί, πανάγαθε,
εἰ ἐμπαράσκευον κἀμὲ εὕροις, Θεέ, τυγχάνοντα.
Ὅπου περ γὰρ ἂν ὦ ἐγώ, Σὺ οὐκ ἐγκαταλείπεις με,
Λόγε οἰκτίρμον, οὐδαμῶς, εἰ μὴ Σὲ πρότερον ἐγώ,
Κύριε, καταλείψαιμι. Ἔνθα περ ἐὰν ὦ ἐγώ,
Σὺ ἀπ' ἐμοῦ οὐκ ἐκχωρεῖς, ὅτι Σὺ εἶ ἁπανταχοῦ,
ἵν' ὅποι ἂν ἀπέλθοιμι, εὕροιμι σὲ τὸν Κύριον,
δι' οὗ δυναίμην εἶναί με καὶ μὴ ἐξαπολοίμην ἂν
ὁ μηδαμῶς δυνάμενος σοῦ ἄνευ εἶναί με ποτε.
Τοίνυν ἐγὼ ὁμολογῶ ὡς ὅ,τι περ ἐὰν ποιῶ,



ὅσα τυγχάνω ἂν ποιῶν, σοῦ κατ' ἐνώπιον ποιῶ·
κἀκεῖνο δὲ ὃ ἂν ποιῶ, αὐτὸς Σὺ οἶδας ἄμεινον
ἤ περ ἐγὼ ὅστις ποιῶ· ἐν ᾧ γὰρ διαπράττομαι,
ἀεὶ παρὼν ἐφέστηκας, οἷα ἐπόπτης τῶν ἐμῶν
ἀίδιος συλλογισμῶν πασῶν τε ἐνθυμήσεων,
θυμήρων τ' ἀσχολήσεων καὶ ἐννοιῶν καὶ πράξεων.
Πᾶσά μου διανόησις καὶ ἅπασά μου ἔφεσις,
σοῦ κατενώπιόν ἐστι διὰ παντός, φιλάνθρωπε.
Σὺ Δέσποτά μου καθορᾷς, πόθεν ἥκει τὸ πνεῦμά μου
καὶ ὅπου ἐστι, Κύριε, ὅποι ὑπάγει τε αὐτό.
Σὺ γὰρ εἶ, Κύριε Θεέ, ὁ τὰ παντοῖα πνεύματα
ἀεὶ διασταθμώμενος, ὁ πότερον εὖ συνειδὼς
γλυκεῖά ἐστιν ἢ πικρὰ ἡ ῥίζα ἡ τῶν ἐννοιῶν
καὶ ἡ τῶν ἐνθυμήσεων, ἐξ ἧς προκύπτει, Κύριε,
φύλλα ὡραῖα θάλλοντα. Οἷα γάρ ἐστι τὰ ἐντός,
αὐτὸς Σὺ κρίνων ἄμεινον καὶ ἄμεινον ἐπίστασαι,
καὶ τὴν ἐντεριώνην δὲ τῶν κλάδων καὶ τὴν τῶν ριζῶν
Σὺ ἐξιχνεύεις, Κύριε, ἁπάντων ἀκριβέστερον·
καὶ οὐ μόνον τὴν πρόθεσιν, ἀλλὰ αὐτὸν τὸν μυελὸν
τῆς ῥίζης τὸν ἐνδότατον τῇ ἀληθείᾳ τοῦ φωτὸς
τοῦ σοῦ συλλέγεις, Κύριε, τῇ λίαν διακριτικῇ
καὶ κατοπτεύεις, ἀριθμεῖς, καὶ πάντα παρασημειοῖς,
ἐφ' ᾧ καὶ ἀποδοῦναί Σε ἑκάστῳ κατὰ τὰ αὐτοῦ
ἔργα καὶ τὴν προαίρεσιν, καὶ κατὰ τὸν μυχαίτατον
καὶ δὴ τὸν κρυφαιότατον τῆς ῥίζης, Λόγε, μυελόν,
ἐξ ἧς καὶ ἡ τοῦ πράττοντος προεκβλαστάνει ἐν αὐτῷ
τοιάδε τις προαίρεσις πρὸς ὅ,τι τείνω ἐγὼ δρῶν,
ὅ,τι διανοούμενός εἰμι καὶ περὶ ὃ ἐγὼ

γήθων πολὺ ἐφήδομαι, αὐτὸς ὁρᾷς ὁ πάνθ' ὁρῶν·
ἀκούει δὲ τὰ ὦτά σου, ἐπισκοποῦσι δ' ἅπαντα
καὶ πάντα ἐπιδέρκονται οἱ ὀφθαλμοί σου, Κύριε.
Προσέχεις, ἐπισημειοῖς καὶ καταγράφεις ἅπαντα,
Θεέ, ἐν τῷ βιβλίῳ σου, πᾶν ὅ,τι εἴτε ἀγαθὸν
εἴτε καὶ φαῦλον γέγονεν. Ὥστε ὑπὲρ τοῦ ἀγαθοῦ
τὰ γέρα ἀποδοῦναί σε, ποινὰς δὲ ὑπὲρ τοῦ κακοῦ
ἐπὰν αἱ βίβλοι, Κύριε, ἀνελιχθῶσι καὶ καθ' ἃ
γέγραπται πάντα ἐν αὐταῖς κριθῶσι πάντες ἄνθρωποι.

Τοῦτό ἐστιν ὅπερ τυχὸν φθάσας ἡμῖν προείρηκας·
«Δείξω τί ἔσεται αὐτοῖς ἐπὶ ἐσχάτων ἡμερῶν
καὶ ὅπερ, Σῶτερ, περὶ σοῦ λέγεται· ὅτι πέρας πᾶν
αὐτὸς ἐξακριβάζεται». Αὐτὸς γὰρ ἐν τοῖς ἅπασιν,
οἷς ἐὰν δρῶμεν, Δέσποτα, πρὸς τὸ σκοπούμενον ἀεὶ
προσέχεις μᾶλλον ἢ αὐτὸ τὸ ἔργον τὸ τῆς πράξεως.
Ἐν ᾧ δ' ἀναπολῶν ἐγὼ τυγχάνω ταῦτ' ἐπιμελῶς,
ὁ Κύριός μου καὶ Θεός, ὁ φοβερὸς καὶ ἰσχυρός,
φόβῳ αἰσχύνῃ τε πολλῇ μεγάλῃ τε συνέχομαι.
Διὸ ἐπάναγκες ἡμῖν πάσῃ ὀρθότητι βιοῦν
δικαιοσύνῃ πάσῃ τε ὡς πρὸ τῶν ὀφθαλμῶν αὐτοῦ
τοῦ πάντα ἐπιβλέποντος ἐργαζομένοις ἅπαντα.



ΚΕΦΑΛΑΙΟΝ ΙΕ'


Ὅτι οὐδὲν καθ' ἑαυτὸν ἄνθρωπος ἰσχύει ἄνευ τῆς παρὰ τοῦ Θεοῦ χάριτος.

Ὦ Παντοδύναμε Θεέ, Θεέ μου Παντοκράτορ,
Σὺ τῶν πνευμάτων εἶ Θεός, Θεὸς ἁπάσης τε σαρκός,
οὗ πάντοτε οἱ ὀφθαλμοὶ ἐπὶ ἁπάσας τὰς ὁδοὺς
τῶν ἀπογόνων τοῦ Ἀδὰμ ἀπὸ γεννήσεως αὐτῶν
ἄχρις τῆς τελευτῆς αὐτῶν ἀγρύπνως ἐπιβλέπουσιν,
ἵνα ἑκάστῳ ἀποδῷς κατὰ τὰ ἔργα τὰ αὐτοῦ
εἴτ' ἀγαθὰ εἴτε κακά· Σύ γνώρισόν μοι, Κύριε,
τὴν ἠθικὴν πτωχείαν μου, ἵν' ἐξομολογήσωμαι
αὐτὴν οἵαν ἐπίστασαι. Εἶπα γὰρ ὅτι πλούσιος
τυγχάνω ὁ πενέστατος καὶ οὐδενὸς οὐδέποτε
ὡς ἐπιδεηθήσομαι· καὶ ᾔδειν ὡς πτωχὸς ἐγὼ
καὶ πένης ἤμην καὶ τυφλὸς γυμνός τε καὶ ἐλεεινὸς
καὶ ἄθλιος ὁ δείλαιος· ἐπίστευον ἔσεσθαί τι
μηδὲν ὑπάρχων ὁ πτωχός. Εἶπα, ὡς σοφισθήσομαι
καὶ ἐγενόμην ἄσοφος, μωρὸς καὶ ἄφρων παντελῶς·
ἐν διανοίᾳ ἔλαβον ὡς ἐγενόμην συνετὸς
καὶ ἐξηπάτημαι ἐγώ· καὶ νῦν, ὁ τάλας, συνορῶ,
ὅτι σὸν ἅπαν δώρημα, οὗ ἄνευ οὐ δυνάμεθα
ποιεῖν οὐδὲν οἱ ἄνθρωποι. Ἐὰν γὰρ μὴ ἐπευδοκῶν
φυλάξῃς πόλιν, Κύριε, εἰς μάτην οἱ φυλάσσοντες
πρὸς φυλακὴν ἠγρύπνησαν. Οὕτως ἐπιγινώσκειν με
ἐδίδαξάς με ὁ Θεός· καὶ γάρ με ἐγκατέλιπες

Σὺ καί με ἐδοκίμασας οὐχ ἕνεκα σοῦ, Κύριε,
ἵνα αὐτὸς μὲ ἐπιγνῷς, ἀλλὰ πρὸς χάριν ἐμαυτοῦ,
ὅπως ἂν ἐπιγνώσωμαι αὐτὸς ἐγὼ ἐμὲ αὐτόν.
Ὡς ἔφην γάρ, ὦ Δέσποτα, ἐδόκουν εἶναί τι κἀμὲ
δῆθεν ἀπὸ ἐμοῦ αὐτοῦ καὶ ἔχειν ῥώμην ἱκανῶς
δι' ἐμαυτοῦ ὁ ἐνδεής, οὐδ' ἐνενόουν ὅτι Σὺ
ἦσθα αὐτὸς ὁ μὲ πλουτῶν καὶ διεξάγων, Κύριε.
Εἰς δ βραχύ τι ἀπ' ἐμοῦ σοῦ μακρυνθέντος, Δέσποτα,
ὡς παραυτίκα πέπτωκα ἐν ἐμαυτῷ καὶ ἔγνωκα
ὅτι σύ με διΐθυνες, ἦν δ' ἐξ ἐμοῦ μὲν τὸ πεσεῖν,
τὸ δ' ἀναστῆναι παρὰ σοῦ, τοῦ με ἐξαναστήσαντος.

—

Ἀνέῳξας τοὺς ὀφθαλμοὺς τοὺς τῆς ψυχῆς μου, Κύριε,
ὦ φῶς, καί με ἐξήγειρας καὶ ὅλον κατεφώτισας,
καὶ εἶδον καὶ συνῆκα ὡς ὁ βίος πειρατήριον
ὁ τοῦ ἀνθρώπου ἐπὶ γῆς, καὶ ὅτι οὐ καυχήσεται
ἐνώπιόν σου πᾶσα σάρξ, οὐδὲ δικαιωθήσεται
πᾶς ζῶν κατενάντιόν σου. Εἴτι γὰρ ἔστιν ἀγαθὸν
ἢ μεῖζον ἢ καὶ ἔλαττον σόν ἐστι δώρημα αὐτό,
οὐδὲν δὲ τὸ ἡμέτερον, πλὴν ὅ,τι πονηρόν ἐστιν.
Πόθεν ἄρ' οὖν καυχήσοιτο ἐνώπιόν σου πᾶσα σάρξ,
εἰ μὴ ἐπὶ τῷ πονηρῷ ; οὐ καύχησις δ' ἤδ' εἴη ἄν,
ἀλλ' ἀθλιότης περισσή, ἀλλὰ μὴ ἐγκαυχήσοιτο
ἐπὶ αὐτῷ τῷ ἀγαθῷ, τῷ ἀλλοτρίῳ μήποτε ;
σὸν γάρ ἐστι τὸ ἀγαθὸν σὴ καὶ ἡ δόξα, Κύριε.
Ὃς γὰρ ἐπιζητοίη ἂν δόξαν ἐπὶ τῷ ἀγαθῷ,
ἐπιζητοίη δ' ἑαυτῷ καὶ μὴ ἐπιζητοίη Σοί,
ὡς κλέπτης οὗτος καὶ λῃστὴς ἐφάμιλλος δὲ γίνεται



τῷ διαβόλῳ τῷ ληστῇ τῷ βουληθέντι ἀφελεῖν
τὴν δόξαν, Κύριε, τὴν σήν. Ὁ θέλων ἐπαινεῖσθαι γὰρ
ἐπὶ τῷ σῷ χαρίσματι καὶ μὴ τὴν δόξαν σου ζητῶν,
ἀλλὰ τὴν δόξαν τὴν αὑτοῦ, κἂν ἐπαινοῖτο οὑτοσὶ
διὰ τὸ δώρημα τὸ σὸν ὑπὸ ἀνθρώπων, ὑπὸ σοῦ
ἐξουθενεῖται ἀληθῶς· ὡς ἐπὶ τῷ δωρήματι
τῷ σῷ ἥκιστ᾽ αὐτὸς τὴν σήν, Κύριε, ἐξεζήτησεν
δόξαν ἀλλὰ τὴν ἑαυτοῦ· ὁ δ᾽ ὑπ᾽ ἀνθρώπων οὐ καλῶς
ἐπ᾽ ἔργοις ἐπαινούμενος, ἐκ σοῦ δ᾽ ἐξουθενούμενος,
οὔτε βοηθηθήσεται συνηγορίαις ταῖς αὐτῶν,
σοῦ τοῦ Δεσπότου κρίνοντος, οὔτε ἀθῳωθήσεται,
σοῦ κατακρίνοντος αὐτόν.
Ἀλλά, Θεέ, ὁ πλάσας με ἐκ τῆς κοιλίας τῆς μητρός,
δέομαι, μὴ ἐάσῃς με τοσοῦτον ἐξοκεῖλαί με
καὶ εἰς ἀπόνοιαν ἐλθεῖν, ὥστ᾽ ἐλεγχθῆναι, Κύριε,
τὴν δόξαν ἐθελῆσαί με τὴν σὴν ἀπονοσφίσασθαι.
Σοὶ δόξα πᾶσα γένοιτο, ἐξ οὗ καὶ ἅπαν ἀγαθόν·
ἡμῖν ἡ τοῦ προσώπου δὲ αἰσχύνη περιλείπεται
καὶ ἀθλιότης ἅπασα, οἷς ἅπαν ἐνδημεῖ κακόν,
ἢν μὴ Σὺ ἐπινεύσειας τοῦ ἐλεῆσαι, Κύριε.
Ἀλλ᾽ ἐλεεῖς, Φιλάνθρωπε, Σὺ πᾶν σου πλάσμα ἐλεεῖς,
οὐδὲν δὲ ὧν ἐποίησας μισεῖς ποτε ὁ ἀγαθός·
καὶ μεταδίδεις ἐκ τῶν σῶν, πανάγαθε, τῶν ἀγαθῶν
καὶ ἀπὸ τῆς πιότητος τῆς σῆς, Θεέ, χρηστότητος
πλουτίζεις ἅπαντας ἡμᾶς τοὺς ἐνδεεῖς καὶ πένητας·
ὅτι τοὺς πενομένους Σὺ καὶ δεομένους ἀγαπᾷς,
τῷ πλούτῳ σου ἐμφαίνεις δὲ πλουτοῦντας ἀνεπιδεεῖς.
Ἰδοὺ ἡμεῖς, πανάγαθε, σοῦ πάντες πένητές ἐσμεν

ἡμεῖς τὰ τέκνα σου αὐτὰ καὶ τὸ μικρόν σου ποίμνιον·
διάνοιξον δή, ὦ Θεέ, τὰς θύρας τοῦ ἐλέους σου
καὶ φάγονται οἱ πένητες καὶ πάντες ἐμπλησθήσονται
καὶ πάντες σε αἰνέσουσιν οἱ ἐκζητοῦντές Σε, Θεέ.
Οἶδα γὰρ καὶ ὁμολογῶ, διδάσκοντός σου, Δέσποτα,
ὡς ἑαυτοὺς οἱ πένητες μόνοι ἐπιγινώσκοντες
σοῦ πάρα πλουτισθήσονται· οἱ δὲ πλουσίους σφᾶς [αὐτοὺς
οἰόμεν᾽ ἐν τῷ πένεσθαι ἀπὸ τοῦ θείου πλούτου σου
αὐτοὶ ἀποκλεισθήσονται.

—

Ἐγὼ δὴ τοίνυν τὴν ἐμὴν πενίαν καθομολογῶ,
Κύριε ὁ Θεός ἡμῶν, ὥστε τὴν δόξαν ἅπασαν
σὴν εἶναι, ὅτι σόν ἐστι πᾶν ἀγαθόν, πανάγαθε,
ὅπερ ἂν γένοιτ᾽ ὑπ᾽ ἐμοῦ. Ὁμολογῶ δέ, Κύριε,
καθάπερ μὲ ἐδίδαξας, ὅτι οὐδέν εἰμι ἐγώ,
ἀλλ᾽ ἢ τὸ σύνολόν εἰμι ἡ ματαιότης ἅπασα
καὶ τοῦ θανάτου ἡ σκιά, καί τις ζοφώδης ἄβυσσος
καὶ γαῖά τις ἀόρατος ὕλη ἀκατασκεύαστος
καὶ οὐκ ἐκφύουσα οὐδὲν χωρὶς τῆς εὐλογίας σου,
οὐδὲ καρποφοροῦσά τι, ἀλλ᾽ ἢ αἰσχύνην περισσὴν
καὶ ἀνομίαν φέρουσα καὶ θάνατον αἰώνιον.
Εἴ τι γὰρ ἀγαθόν ποτε ἔσχον, ἐγὼ ἀπέλαβον
παρὰ σοῦ μόνου ἀγαθέ, εἴ τι δ᾽ ἂν ἔχω σόν ἐστιν,
ἢ ἔχω παρὰ σοῦ λαβών. Εἴποτε δ᾽ ἔστηκα ἐγώ,
διὰ σοῦ ἔστηκα Θεέ, ἀλλ᾽ ὅτε πέπτωκα ἐγὼ
πέπτωκα καὶ ἐξ ἐμαυτοῦ, ἢν δ᾽ ἂν ἀείπερ ἐν πηλῷ
ὁ τάλας κατακείμενος, εἰμὴ σὺ μὲ ἀνήγειρας·

ἀεὶ τυφλώττων δὲ ἂν ἦν, εἰμὴ σὺ μὲ ἐφώτισας·
οὐκ ἀνηγέρθην πεπτωκώς, εἰμὴ Σὺ χεῖρα ὤρεξας·
σοῦ δέ με ἀνεγείραντος, ἀνεπεπτώκειν συνεχῶς,
εἰμὴ μὲ ὑπεστήριζες· καὶ πλεονάκις ἂν ἐγὼ
ἐξαπολώλειν, Κύριε, εἰμὴ Σὺ διακυβερνῶν
μὲ ἔσωσας, Φιλάνθρωπε.

Οὕτως ἀεὶ ἡ χάρις σου προέφθασέ με, Κύριε,
καὶ τὰ ἐλέη τὰ ἐκ σοῦ ἀπὸ κακῶν παντοίων με
ρυόμενά με πάντοτε καὶ τῶν παρῳχηκότων μὲν
τελείως ἀπαλλάττοντα, ἀπὸ δὲ τῶν παρόντων με
διανιστῶντα πάραυτα, καὶ κατὰ τῶν μελλόντων με
καλῶς προασφαλίζοντα, καὶ μὲν δὴ καὶ τὰς ἔμ-[προσθεν
ἐμοῦ παγίδας τοῦ ἐχθροῦ τὰς διατεταμένας μοι
ἀεὶ προϋποτέμνοντα καὶ τὰς ἀπείρους ἀφορμὰς
εἰς τὸ ἐξαμαρτάνειν με ἀεὶ προϋφαιρούμενα
Εἰμὴ γὰρ οὕτω μοι αὐτὸς ἐποίησας, Φιλάνθρωπε,
διεπραξάμην ἅπασαν τὴν ἁμαρτίαν ἂν ἐγὼ
τοῦ κόσμου, Δέσποτα Θεέ.
Οἶδα γὰρ οἶδα, Κύριε, ὅτι πολλὰ ἐξήμαρτον,
οὐκ ἔστιν ἀνομία τις ἣν ἄνθρωπος εἰργάσατο,
ἣν δὴ καὶ ἕτερος αὐτὴν ἄνθρωπος οὐ μὴ πώποτε
τελέσαι δυνηθείη ἄν, εἰμὴ παρείης Σὺ αὐτός,
Κύριε, ἀντιλήπτωρ μου,ὁ πλαστουργήσας ἄνθρωπον·
ἀλλ'ὡς με τάδε μηδαμῶς ποιῆσ' αὐτὸς ἐποίησας,
ὡς ἀποσχέσθαι τούτων με, οὐ ἐνετείλω καὶ τοῦ σοὶ
πιστεῦσαί μοι ἐνέχεας τὴν χάριν σου, Φιλάνθρωπε·

Σὺ ἦσθα ὁ πρὸς σὲ αὐτόν με κατευθύνων, Δέσποτα
Σύ με καὶ σοὶ αὐτῷ ἀεὶ καὶ ἐμαυτῷ ἐφύλαξας,
ὡς μὴ ἀποτελέσαι με μοιχείαν ἢ καὶ ἕτερον
τοιοῦτόν τι ἀνόμημα διὰ τοῦ τῆς σῆς χάριτος
καὶ τοῦ σοῦ θείου Φωτισμοῦ, Κύριε, ἀποσχόμενον.

ΚΕΦΑΛΑΙΟΝ ΙϚ'

Περὶ τοῦ διαβόλου καὶ τῶν ἐξ αὐτοῦ πολλῶν πειρασμῶν.


Ὁ πειραστής μου ἀπιὼν ᾤχετο καὶ ἀφῆκέ με,
τὸ δ' ἀπιέναι τὸν ἐχθρὸν Σὺ ἀπειργάσω, Κύριε·
ἀπῆν δὲ τόπος καὶ καιρός, Σὺ δ' ὁ ποιήσας ἦς,Θεέ
ἀπεῖναί μου τὸν πειραστήν.Παρῆν ὁ τόπος μὲν αὐτῷ
οὐδ' ὁ καιρὸς αὐτῷ ἀπῆν, ἀλλὰ κατέσχες Σὺ αὐτός
ὡς μηδαμῶς μηδέποτε ποιήσω συγκατάθεσιν.
Παρέστη ὁ πειράζων με τὴν θέαν σκοτεινόμορφος,
οἷός πέρ ἐστιν ἀληθῶς, ἀλλ' ὡς καταφρονῆσαί με
τούτου Σὺ μὲ ἐνίσχυσας· ἧκεν αὖ ὁ πειράζων με
καὶ ἔνοπλος καὶ ἰσχυρός, ἀλλ' ὡς μὴ περιγένοιτο
ἐμοῦ τοῦ ἄκρως ἀσθενοῦς, αὐτὸν μὲν ἐχαλίνωσας,
ἐμὲ δὲ Σὺ ἐπέρρωσας· ἦλθεν αὖ ὁ πειράζων με
εἰς Ἄγγελον αὐτὸς φωτὸς ὁ δράκων μεταμορφωθείς
ἀλλ' ἐπετίμησας αὐτῷ, ὡς μὴ ἐξαπατήσῃ με
καὶ ἐπιγνῶναί με αὐτὸν Σὺ μέ, Θεέ, ἐφώτισας.

Αὐτὸς ὁ δράκων γάρ ἐστιν ὁ μέγας ὄφις καὶ πυρρὸς
ὁ πονηρὸς διάβολος ὁ καὶ Σατὰν ἐπικληθείς,
ὁ ἔχων κεφαλὰς ἑπτὰ καὶ δέκα ἔχων κέρατα.
«ὃν ἔπλασας ἐμπαίζειν Σὺ ἐν τῇ θαλάσσῃ ἐν αὐτῇ
τῇ εὐρυχώρῳ τῇ πολλῇ, ἐν ᾗ ὑπάρχει ἑρπετὰ
ὧνπερ οὐκ ἔστιν ἀριθμός, ζῶα μικρά εἰσιν ἐκεῖ
μετὰ μεγάλων ἄπειρα»· τουτέστιν εὕρηται ἐκεῖ
γένη παντοίων πονηρῶν δαιμόνων ἀριθμὸς πολύς·
τὰ ἐν ἡμέρᾳ καὶ νυκτὶ δρῶντα οὐδὲν ἕτερόν τι
ἢ κύκλῳ περιέρχεσθαι ἐπιζητοῦντα τίνα δὴ
εὑρόντας καταπίωσιν, εἰ οὐ αὐτὸς μὴ ῥύσαιο.
Αὐτὸς ἐκεῖνος γάρ ἐστιν ὁ δράκων ὁ πανάρχαιος
ὁ ὑφερπύσας ἐν Ἐδὲμ ἐν παραδείσῳ τῆς τρυφῆς
καὶ τῷ οὐραίῳ ἑαυτοῦ τὸ τρίτον τῶν ἐν Οὐρανῷ
ἀστέρων σπάσας ἐπὶ γῆς, ὁ τῷ ἰῷ τὰ τῆς χθονὸς
ὕδατα λυμηνάμενος, ὥστε ἐκθνήσκειν ἅπαντας
τοὺς ἀπὸ τούτων πίνοντας· ὁ τὸν χρυσὸν ὡσεὶ πηλὸν
εἰς ἑαυτὸν ὑποστρωννύς, καὶ ὅλον εἰσρυήσεσθαι
εἰς τὴν κοιλίαν ἑαυτοῦ τὸν Ἰορδάνην πεποιθώς,
ὁ γεγονὼς ἀτρόμητος, ὥστε μηδένα μηδαμῶς
φοβεῖσθαι μήτε πτήσσειν πως· τίς τῶν δηγμάτων
[τοῦ δεινοῦ
δράκοντος ἀπαλλάξει με; τίς ὁ ἀπὸ τοῦ στόματος
αὐτοῦ ἐξαιρησόμενος, εἰμὴ Σὺ ὁ ῥυόμενος,
ὁ καταθλάσας, Κύριε, τὴν κεφαλὴν τοῦ δράκοντος;
Ἐκπέτασον δὴ ἐφ᾿ ἡμᾶς τὰς πτέρυγάς σου, Δέσποτα,
ἵν᾿ ὑπ᾿ αὐτὰς προσφύγωμεν καὶ οὕτω διαφύγωμεν
ἀπὸ προσώπου τοῦ θηρός, ὑφ᾿ οὗ νῦν διωκόμεθα,

καὶ διὰ τοῦ Σοῦ θυρεοῦ ἐκ τῶν κεράτων τῶν αὐτοῦ
ῥῦσαι ἡμᾶς, Φιλάνθρωπε. Οὗτος γὰρ ὁ διηνεκὴς
αὐτοῦ ὑπάρχει ὁ ἀγών, αὕτη δὲ μόνη ἡ αὐτοῦ
ἐπιθυμία μάλιστα τοῦ θέσθαι ἑαυτοῦ βορὰν
τὰς ὧνπερ ἔπλασας ψυχάς.

—

Καὶ διὰ τοῦτο, Κύριε, πρὸς Σὲ βοῶμεν, λύτρωσαι
ἡμᾶς ἀπὸ τοῦ πονηροῦ ἐχθίστου πολεμήτορος
τούτου τοῦ καθημερινοῦ, ὅστις εἴτε καθεύδουσιν
εἴτ᾿ ἀγρυπνοῦσι παννυχὶ εἴτε ἐσθίουσιν ἡμῖν
εἴτε δὲ πίνουσιν ἡμῖν εἴτ᾿ ἄλλο ὁτιοῦν ἡμῖν
ἐργαζομένοις, πάντοτε καὶ ἐν ἡμέρᾳ καὶ νυκτὶ
οὗτος ἀεὶ ἐφέστηκε τρόποις παντοίοις πολεμῶν,
ὁτὲ μὲν ἐκ τοῦ φανεροῦ, ὁτὲ δὲ ἐκ τοῦ ἀφανοῦς
λαθραίως βέλη καθ᾿ ἡμῶν εὐθύνων βάλλοντα ἰόν,
ὥστ᾿ ἀποκτεῖναι τὰς ψυχὰς ἡμῶν. Ἀλλ᾿ ἦ που,
[Κύριε,
ὡς σφόδρα χαλεπή ἐστιν ἡ ἀφροσύν᾿ ἡ ἐξ ἡμῶν,
ἐν ᾧ ἀδιαλείπτως γὰρ τοῦτον ἡμεῖς τὸν δράκοντα
ὁρῶμεν ἐχθρικώτατα ἡμῖν ἐπανιστάμενον
διηνοιγμένῃ φάρυγγι ἑτοίμως ἔχοντα ἀεὶ
καταβροχθίσαι ἅπαντας ἡμᾶς τοὺς ἁμαρτάνοντας,
ἀλλ᾿ οὐδὲν ἧττον ἀμελεῖς ἀεὶ ἐπικαθεύδομεν
ὄντως ὥσπερ ἐν ἀσφαλεῖ ἐνώπιον τοῦ οὐδέν τι
ἐφιεμένου ἕτερον ἢ τὴν ἡμῶν ἀπώλειαν.
Καὶ ὁ πολέμιος μὲν γὰρ ἀεὶ ἐπεγρηγόρησεν
ἀύπνως, ὥστ᾿ ἐν ἀκαρεῖ κτεῖναι ἡμᾶς καθεύδοντας,



αὐτοὶ δὲ οὐχ αἱρούμεθα διεγερθῆναι τάχιστα,
ὥστε καὶ προφυλάξασθαι ἡμᾶς αὐτοὺς τοῦ δρά-
[κοντος.

—

Ἰδοὺ πρὸ τῶν ποδῶν ἡμῶν παγίδας διεξέτεινε
μυρίας ὁ ἐχθρὸς ἡμῶν, παντοίας γαλεάγρας δὲ
ταῖς τρίβοις πάσαις ταῖς ἡμῶν λαθραίως ἐπεπλήθυνεν,
ὥστε καὶ τὰς ψυχὰς ἡμῶν δολίως ἐπαγρεύσασθαι·
τίς διαδράσει δὲ αὐτάς;
Παγίδας ἔστησεν ἡμῖν ἐν πλούτῳ ἐν πενίᾳ τε,
ἐν βρώσει τὲ ἡτοίμασεν καὶ πόσει θήρατρα πολλά,
καὶ ἐν ἡδυπαθείαις δὲ παγίδας ἔστησεν ἡμῖν,
ἐν ἀγρυπνίαις ἥπλωσεν καὶ ὕπνοις διεξέτεινε
ἐν λόγῳ τε ἐπλήθυνε καὶ ἔργῳ καὶ ἐν ἅπασι
ἐν τῇ ὁδῷ τοῖς βήμασιν. Ἀλλὰ Σύ, Κύριε Θεέ,
ρῦσαι ἡμᾶς ὡς ἀγαθὸς ἐκ τῶν παγίδων τῶν ἐχθρῶν
τῶν θηρευόντων τὰς ψυχὰς τῶν ἐπικαλουμένων Σε,
καὶ ἀπὸ ταραχώδους δὲ λόγου Σὺ ρῦσαι, Κύριε,
ἵνα οἱ σῳζόμενοι ἐξομολογησώμεθα
λέγοντες, εἴη εὐλογητὸς ὁ Κύριος ὁ ἀγαθός,
ὃς οὐ παρέδωκεν ἡμᾶς εἰς θήραν καὶ κατάβρωμα
τοῖς ἐκζητοῦσι θηρευταῖς, καὶ ὡς στρουθίον ἡ ψυχὴ
ἡμῶν ἐρρύσθη θαυμαστῶς ἐκ τῆς παγίδος θηρευτῶν
καὶ συνετρίβη ἡ παγὶς καὶ ἅπαντες ἐρρύσθημεν.

—

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Ὅτι ὁ Θεὸς φῶς τοῖς δικαίοις ἐστί.

Καὶ Σύ, τὸ φάος τὸ ἐμόν, Κύριε, ἀποκάλυψον
τοὺς ὀφθαλμοὺς τοὺς τῆς ψυχῆς, ἵνα ἐν τῷ φωτὶ τῷ Σῷ
καταυγασθεὶς πορεύσωμαι καὶ μὴ πρὸς τὰς τοῦ πει-
[ραστοῦ
παγίδας τὰς στηθείσας μοι προσκόψω ποι τὸν πό-
[δα μου·
τίς γὰρ τὰς πέδας τὰς πολλὰς τοῦ πονηροῦ ἐκφεύξεται
αὐτὰς μὴ βλέπων ἐμφανεῖς; τίς δ' ὄψεται, ὃν ἂν μὴ Σὺ
φωτίσῃς τῷ φωτὶ τῷ σῷ; Αὐτὸς ὁ ἐρεβώδης γὰρ
πατὴρ τοῦ σκότους ἔκρυψεν ἐν ζόφῳ πάγας τὰς
[αὐτοῦ,
ὅπως ἂν πάντες ἐν αὐταῖς ἁλίσκοιντο οἱ ἄνθρωποι
οἱ ἐν σκοτίᾳ βαίνοντες καὶ ἐν αὐτῇ διάγοντες,
τοῦ τοίου σκότους οἱ Υἱοί, οἱ ἀβλεπτοῦντες πρὸς
τῆς σῆς ἀποκαλύψεως ἐν ᾧ ὁ πορευόμενος [τὸ φῶς
οὐ φοβηθήσεταί ποτε. Ὁ ἐν ἡμέρᾳ πάντοτε
περιπατῶν καὶ ἐν φωτὶ οὐ μὴ προσκόψῃ πάντοτε,
ὁ δὲ ἐν σκότει καὶ νυκτὶ ἐνδιαπορευόμενος,
οὗτος προσκόπτει πάντοτε, ὅτι οὐκ ἔστιν ἐν αὐτῷ
τὸ φῶς τῆς ἀληθείας σου. Σὺ εἶ τὸ φάος, Κύριε,
τὸ φῶς εἶ τῶν υἱῶν φωτός. Σὺ ἡ ἡμέρα εἶ, Θεέ,
ἡμέρα ἡ ἀνέσπερος ἡ ἀιδίως φωταυγὴς
ἡ δύσιν μὴ γινώσκουσα, ἐν ᾗ διαπορεύονται

οἱ σοὶ υἱοὶ ἀπρόσκοπτοι, ἧς τε χωρὶς οἱ ἄνθρωποι
οἱ διαπορευόμενοι ἐν σκότει καὶ ἐν ζοφερᾷ
νυκτὶ διαπορεύονται, ἅτε μὴ ἔχοντες τὸ φῶς
τοῦ κόσμου Σὲ αὐτόν.


—

Ἰδοὺ ὁρῶμεν, ὁ Θεός, ὡς ὅσῳ μᾶλλον ἐάν τις
τοῦ σοῦ ἀπομακρύνοιτο φωτός, τοσούτῳ μάλιστα
αὐτὸς περιελίσσεται ζοφώσει τῶν ἁμαρτιῶν·
ὅσῳ δ᾽ ἂν πλεῖον οὑτοσὶ ἐν ζόφῳ ἐνδιαβιοῖ,
τοσῷδε ἧττον οὑτοσὶ ὁ τάλας ἐπιδέρκεται
τὰ ἐπὶ τῆς ὁδοῦ αὐτῷ προτεταμένα θήρατρα·
διὸ καὶ ἧττον συνορᾷ καὶ συνεχέστερον αὐτὸς
ἐμπίπτων ὑπαλίσκεται ἐν ταῖς παγίσι τοῦ ἐχθροῦ·
τὸ δ᾽ ἔτι φοβερώτερον ὅτι ὁ τάλας ἐμπεσὼν
τὴν πτῶσιν ὅλως ἀγνοεῖ· ὁ δὲ τὸ πτῶμα ἀγνοῶν
καὶ ἥττονα λόγον αὐτὸς ποιεῖται πρὸς ἐξέγερσιν,
ὅσῳ προσέτι οἴεται ἵστασθαι μᾶλλον ὄρθιος.
Ἀλλὰ αὐτὸς Σύ, Κύριε, τὸ φῶς τῆς διανοίας μου,
τοὺς ὀφθαλμούς μου τοῦ ἰδεῖν καὶ ἐπιγνῶναι, Κύριε,
καταύγασον νῦν, δέομαι, ἵνα μὴ κατενώπιον
τῶν διωκτῶν ἀπόλωμαι. Ὁ γὰρ πολέμιος ἡμῶν
ἐπὶ ὀλέθρῳ πάντοτε τῷ ἡμετέρῳ ἰσχυρῶς,
Κύριε, ἀγωνίζεται, ὃν ἐκτακῆναι ποίησον
ἀπὸ προσώπου σῶν υἱῶν,
ὡσεὶ κηρὸς ἐκτήκεται ἀπὸ προσώπου τοῦ πυρός.
Αὐτὸς γάρ ἐστι, Κύριε, ὁ πρώτιστος καὶ πύματος
ληστὴς ὁ στήσας τὴν βουλὴν τὴν δόξαν ἀφαρπάσαι σου
ἡνίκα κατερράγη φυσιωθεὶς καὶ ἐπαρθεὶς

καὶ εἰς τὸν βόθρον ἑαυτοῦ ἐμπέπτωκεν ἀπορριφεὶς
ἀπ᾽ ὄρους τοῦ ἁγίου σου ἐκ μέσου τῶν πυροειδῶν
λίθων, οἷς ἦν διατελῶν αὐτὸς ἀναστρεφόμενος.

—

Οὗτος καὶ νῦν, φιλάγαθε Κύριε, ἡ ἐμὴ ζωή,
Οὗτος καὶ νῦν οὐ παύεται καταδιώκειν οὐδαμῶς
τὰ τέκνα σου ὁ ἔχθιστος καὶ μετὰ τὴν ἔκπτωσιν
δι᾽ ὅπερ φέρει κατὰ σοῦ μῖσος ὑπέρτατε, Θεέ·
τὸ σὸν κατεφιέμενος ὀλέσαι πλάσμα ὁ δεινὸς
τὸ ὑπὸ τῆς σῆς πανσθενοῦς ἀγαθωσύνης, Κύριε,
κατὰ τὴν θείαν σου αὐτὴν εἰκόνα δημιουργηθέν,
πρὸς τὸ γενέσθαι ἄξιον τῆς δόξης τῆς Θεοπρεποῦς,
ἧς ἕνεκα τῆς ἑαυτοῦ ἐπάρσεως ἐστέρηται.
Ἀλλὰ σὺ σύντριψον αὐτὸν ὁ ἐν ἰσχύϊ κραταιὸς
τὸν ἀντεπανιστάμενον ἡμῖν τοῖς δεομένοις σου
προβάτοις τοῖς τῆς σῆς αὐλῆς φώτισον δὲ τοῦ κα-
[θορᾶν
τὰς ἃς ἡμῖν ὑπέστησε παγίδας πρὸς παγίδευσιν
καὶ πόθῳ σοι καταφυγεῖν ὅστις τοῦ νέου Ἰσραὴλ
ὑπάρχεις ἀγαλλίασις. Καὶ ταῦτα μὲν δὴ ἅπαντα.
Σὺ ἄμεινον ἐπίστασαι ὁ ἄριστα τὴν καθ᾽ ἡμῶν
ἔριν φιλόνικον εἰδὼς ἐκείνου τοῦ ἀλάστορος
καὶ τὸν σκληρότατον αὐτοῦ τράχηλον ἐπιστάμενος.
Οὐ γὰρ γνωρίσων σοι αὐτὰ τῷ πάντ᾽ εἰδότι, Κύριε,
ταῦτα διέξειμι ἐγώ, ὃν διαλάθοι οὔποτε
ἁπλῆ τις διανόησις, ἀλλὰ πρὸ τῶν ποδῶν τῆς σῆς
μεγαλωσύνης, Κύριε, τὰ παρὰ τοῦ δεινοῦ ἐχθροῦ,
Κριτά μου ποτνιῶμαί σοι, ἵν᾽ ἐκδικάσῃς μὲν αὐτόν,



σώσῃς δ'ἡμᾶς τὰ τέκνα σου, ὧν Σὺ ὑπάρχεις, Κύριε,
ἡ δύναμις καὶ ἡ ἰσχύς.

—

Πανοῦργος ὁ πολέμιός ἐστι καὶ λίαν σκολιὸς
οὐκ ἂν δέ τις νοήσειεν ῥαδίως τούτου τῶν ὁδῶν
περιελίξεις, Κύριε, οὐδ' ἐπιγνοίη ἄν ποτε
τὸ εἶδος τοῦ προσώπ' αὐτοῦ, ἐὰν μὴ ἐπιλάμψῃς Σύ.
Νῦν ὧδε μὲν περίεισι, νῦν δὲ ἐκεῖσε στρέφεται,
νῦν ὡς ἀρνίον καὶ εὐθὺς ὡς λύκος ἐμφανίζεται.
Νῦν ὥσπερ πέφυκε αὐτὸν σκότος ἐμφαίνει ζοφερὸν,
νῦν παραφαίνει δὲ ὡς φῶς αὐγάζον χρηματίζοντα·
ἑκάσταις δὲ ὁποίαις οὖν ποιότησι καὶ τόποις δὲ
καὶ χρόνοις καὶ κατά γε τῶν πραγμάτων τὰς μετα-
[βολὰς
διαφερούσας πρὸς αὐτὰς παντοίους ἔχει πειρασμούς,
ἵνα τοὺς τεθλιμμένους γὰρ ζητῶν παραμυθήσηται
ἐκκρούσῃ δ' ὕστερον αὐτοὺς, λυπεῖσθαι δῆθεν καὶ
[αὐτὸς
ὁ δράκων ὑποκρίνεται, ἵνα ἐμπαίξῃ αὖθις δὲ
τοῖς χαρμοσύνως ἔχουσι, χαίρειν συσχηματίζεται
καὶ προσποιεῖται χαρμονὴν, ἵνα ἐκφενακίσῃ δὲ
πῶς τοὺς περὶ τὰ πνευματικὰ ἀσχολουμένους εὐσεβεῖς,
συσχηματίζει ἑαυτὸν ὡς Ἄγγελον θείου φωτὸς
καὶ ἵνα συμπιέσῃ μὲν τοὺς ἰσχυροὺς κατ' ἀρετὴν
παραμορφοῦται ὥσπερεὶ ἀρνίον πέλει ἄκακον,
ἵνα δὲ τοὺς πραεῖς βορὰν αὐτῷ ποιήσηται εὐθὺς,
ὁρμᾷ ὡς λύκος κατ' αὐτῶν. Καὶ ταῦτα εἴωθεν δὴ δρᾶν
μεταποιούμενος ἀεὶ ἐν ὁμοιώματι πολλῶν

καὶ παμποικίλων πειρασμῶν. Ὡς καταπτήσσειν τού-
[τους μὲν
φόβου ἀπὸ νυκτερινοῦ, τοὺς δ' ἀπὸ βέλους φλογεροῦ
ὃ ἐν ἡμέρᾳ πέτεται, τοὺς δὲ καὶ ἀπὸ πράγματος
ὅπερ διαπορεύεται ἐν σκότει ὅλως ἀφανῶς,
τοὺς δὲ ἀπὸ συμπτώματος καὶ δαίμονος μεσημ-
[βρινοῦ.
Καὶ πρὸς αὐτὰ τίς πέφυκε τοῦ διακρίνειν ἱκανός;
καὶ τίς ἐπέγνω τὰς αὐτοῦ ποικίλας δολιότητας
καὶ πανουργίας τὰς πολλάς;
Καὶ τίς τὸ εἶδος δέ ποτε τοῦ ἱματίου τοῦ δεινοῦ
ἀποκαλύψει δράκοντος; Τὸν γύρον τῶν ὀδόντων δὲ
αὐτοῦ συνήσει τίς ποτε;

—

Ἡνὶ δ' ἐν τῇ φαρέτρ' αὐτοῦ τὰ βέλη ἔκρυψεν αὐτοῦ
καὶ τὰς παγίδας ἑαυτοῦ εἴδει φωτὸς ἐκάλυψεν·
ῥᾴδιον δὲ τὸ μὴ αὐτὸν διαγιγνώσκεσθ' ὑφ' ἡμῶν,
ἐὰν μὴ παρὰ σοῦ, Θεέ, ἐλπὶς ἡμῶν, λάβοιμεν φῶς,
ὥσθ' ἅπαντά τε κατιδεῖν καὶ συνιέναι ἅπαντα.
Οὐ γὰρ ἐν ἔργοις τῆς σαρκὸς ἅπερ ῥαδίως φαίνεται,
οὐδ' ἐν αὐτοῖς καὶ μόνοις τοῖς παρανομήμασιν ἡμῶν,
ἀλλὰ προσέτι ἐν αὐταῖς ἡμῶν ταῖς ἐξασκήσεσι,
ταῖς καθαρῶς πνευματικαῖς, παγίδας ἔστησεν ἡμῖν,
ἅς περ ὁ δόλιος ἡμῖν ὑποκεύθει λίαν λεπτάς·
καὶ τὰς φαυλότητας αὐτὰς ὡς ἀρετὰς τοῖς πράττουσιν
ἄντικρυς ἀναχρώννυσι καὶ σχηματίζει ἑαυτὸν
ὡς Ἄγγελον θείου φωτός. Τοιαῦτα δὴ καὶ ἕτερα
πλεῖστα τυρεύει καθ' ἡμῶν ὁ τοῦ Βελίαρ ὑπουργός.

αὐτὸς ὁ δόλιος Σατάν, Κύριε, ὁ Θεὸς ἡμῶν,
καὶ ἄρτι μὲν ὡς λέων τις, ἄρτι δ' ὡς δράκων φανερῶς
καὶ ἀφανῶς ἐργάζεται καὶ ἔσωθεν καὶ ἔξωθεν,
καὶ νύκτα μεθ' ἡμέραν τε προσενεδρεύει διαρκῶς
τοῦ ἀφαρπάσαι τὰς ψυχάς. Ἀλλ' ὁ Θεὸς ῥῦσαι ἡμᾶς
ὁ σώζων τοὺς ἐλπίζοντας εἰς Σέ, Θεέ, φιλάνθρωπε·
ἵνα ἐκεῖνος ἐφ' ἡμῖν δεινῶς ἐπανιώμενος
οἴχοιτο ὁ παμπόνηρος καὶ σοβηθείη ἀφ' ἡμῶν,
Σὺ δὲ παρείης ὁ Θεὸς ἡμῖν ὁ ὑπερύμνητος
καὶ ὁ ὑπερευλόγητος ὁ μόνος ὑπερένδοξος.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ'

Περὶ τῶν ἐκ τοῦ Θεοῦ εὐεργετημάτων.

Ἐγὼ δὲ ὕψιστε, Θεέ, ὁ τῆς παιδίσκης σου υἱός,
ἥτις ἐμὲ τῇ σῇ χειρὶ ἀπὸ γαστρὸς ἀνέθετο,
διὰ τῶν πενιχρῶν μου ἐξομολογήσεων αὐτῶν
ἐν ὅλῃ τῇ καρδίᾳ σοὶ τῷ πλάστῃ τῷ σωτῆρί μου
ἰδοὺ νῦν παραστήσομαι καὶ ἐν τῇ διανοίᾳ μου
ἤδη ἀναπεμπάσομαι τὰ ἀγαθά σου ἅπαντα,
ὅσα ἀπὸ νεότητος ἐμοὶ εἰργάσω, Κύριε,
διὰ παντὸς τοῦ βίου μου. Οἶδα ὡς πάνυ σφόδρα γὰρ
ἡ γνώμη ἡ ἀχάριστος σοὶ ἀπαρέσκει, Κύριε,
ὡς ῥίζα πάσης πέλουσα πνευματικῆς φαυλότητος,
οἷα ἀνέμου τις ῥοπὴ πᾶν ἀγαθὸν ξηραίνουσα

ἅμα καὶ κατακαίουσα καὶ τὴν πηγὴν τῆς σῆς, Θεέ,
περὶ τὸν ἄνθρωπον αὐτὸν ἄκρας φιλανθρωπίας σου
καὶ ἄκρας εὐσπλαγχνίας σου τελείως ἀποφράττουσα.
Διὰ ἀγνωμοσύνην γὰρ τὰ ἔργα τά τε πονηρὰ
τὰ θνησιμαῖα πέλοντα οὐ νέκρωσιν ὑφίστανται
ἐπαναζῶντα δι' αὐτῆς, ἀλλά γε καὶ τὰ ἀγαθά,
ὅσαπερ ἔτι ὁπωσοῦν διατελοῦσι ζωηρά,
τέως ἀπονεκρούμενα ἐκθνήσκει καὶ οὐκ ἐπιζῇ
οὐδὲ ἐπανακμάζει ἐπέκεινα ζωτικώτερα
εἰς αὖθις καθιστάμενα. Ἀλλὰ εὐχαριστήσω σοι,
Κύριε, μὴ ἀγνώμων τε σοὶ εἴην καὶ ἀχάριστος,
σοὶ τῷ λυτρωσαμένῳ με σωτῆρί μου καὶ ῥύστῃ μου·
ποσάκις γὰρ ὁ Δράκων μὲν ἐκεῖνός με κατέπιε,
Σὺ δὲ ἐμὲ ἐξέσπασας ἀπὸ φαρύγγων τῶν αὐτοῦ.

Ποσάκις σοι ἡμάρτηκα, ὁ δὲ καταβροχθήσειν με
ἦν ἕτοιμος καὶ Σύ, Θεέ, ἀεὶ ὑπερασπίσω μου;
ὅτε ἐγὼ δὲ κατὰ σοῦ παρανομῶν ἡμάρτανον,
ἡνίκα τε παρανομῶν ἠθέτουν σου τὰς ἐντολάς,
ἵσταται' ἐκεῖνος ἕτοιμος εἰς Ἅδην ἀφαρπάσαι με·
αὐτὸς δὲ διεκώλυες. Ἐγὼ μὲν σοὶ προσέκρουον,
σὺ δὲ ἐμοὶ ἐπήμυνες· κἀγὼ οὐκ ἐδεδίειν μέν,
σὺ δὲ ἐμὲ ἐφύλαττες· καὶ σοῦ ἐμακρυνόμην μὲν
καὶ ἐκολλώμην τῷ ἐχθρῷ, σὺ κατεφόβεις δὲ αὐτόν,
ἵνα μὴ κυριεύσῃ με. Τάς δε τὰς εὐποιΐας μοι
Σὺ ἐπετέλεις, ἀγαθέ, ἐγὼ δὲ ὁ ἐλεεινὸς
ἠγνόουν καὶ ἡμάρτανον. Οὕτω σὺ ἐξερρύσω με
ἐκ τῶν φαρύγγων τοῦ ἐχθροῦ, ἀπὸ τοῦ στόματος αὐτοῦ

τοῦ λέοντος ἀνήρπασας, πλειστάκις ἀγνοοῦντά τε
ἐξ ᾅδου με ἀνήρπασας. Κατεληλύθειν γὰρ ἐγὼ
ἕως τοῦ ᾅδου τῶν πυλῶν· τοῦ δ' ὅλως μὴ γενέσθαι με
εἴσω Σὺ ὁ φιλάνθρωπος Θεὸς ἐπικατέσχες με.


—

Ἐγγὺς τῶν θανάτου πυλῶν ἐγενόμην,
τὸ δὲ ἐν αὐταῖς μὴ ἐμὲ συσχεθῆναι
Σύ μου ὁ Δεσπότης Θεὸς ἐξειργάσω.
Ἀλλὰ καὶ ἀπὸ τοῦ θανάτου με, Σῶτερ
πολλάκις ἐρρύσω δεινοῖς συσχεθέντα
νοσήμασιν ὅλον, προσέτι κινδύνοις
περιεμπεσόντα πολλοῖς καὶ ποικίλοις
καὶ γῆς καὶ θαλάσσης· καὶ ἀπὸ πυρός με
καὶ ἀπὸ μαχαίρας, καὶ ἀπὸ παντοίας
πολλῆς ἐπηρείας ἀπήλλαξας Σύ με
ἀεὶ παραστάς μοι, καὶ κατὰ τὸ μέγα
Θεέ, ἔλεός σου διετήρησάς με.
Ὦ Δέσποτα, ᾔδεις ὡς εἰ τηνικαῦτα
ἐγὼ ἐτεθνήκειν ληφθεὶς ἁμαρτάνων,
ὁ Ἅδης τὴν σφόδρα ἀθλίαν ψυχήν μου
ἐδέξατο ἂν γε καὶ δὴ κατεκρίθην
δεσμοῖς αἰωνίοις. Ἀλλ' οἱ οἰκτιρμοί σου,
ἡ θεία σου χάρις προέφθασαν, Σῶτερ,
καὶ διέσωσάν με. Καὶ ἐκ τοῦ θανάτου
τοῦ τῆς ψυχῆς ἅμα καὶ τοῦ σώματός μου
ἐξεῖλόν με, Σῶτερ. Τοιαύτας καὶ πλείστας
ἑτέρας μοι, Λόγε, ἐπεδαψιλεύσω
τὰς εὐεργεσίας. Ἐγὼ δὲ τυφλὸς ἦν,

ὁρᾶν δὲ οὐκ εἶχον, ἕως σῇ φωτίσει
διεφώτισάς με. Νῦν, ὦ τῆς ψυχῆς μου
θειότατον φάος, Σὺ ὁ Κύριός μου
ὁ Δημιουργός μου ἡ μόνη ζωή μου,
δι' ἧς τε τελῶ ζῶν, τὸ τῶν ὀφθαλμῶν μου
θειότατον φέγγος καὶ ὁ φωτισμός μου,
δι' οὗ ἐγὼ βλέπω, ἰδοὺ νῦν, Θεέ μου,
Σὺ ἐπέλαμψάς μοι καὶ ἔγνων σε, Σῶτερ,
ὅτι διὰ σοῦ ζῶ καὶ χάριτας πλείστας
καθομολογῶ σοι, καίτοι γε καὶ ταύτας
σμικρὰς εὐτελεῖς τε, οὐδέ γε παρίσους
ταῖς εὐεργεσίαις ἃς σύ μοι εἰργάσω,
ἀλλ' οἵας περ ἔχοι ἂν προσενεγκεῖν σοι
ἡ ἐν ἐμοί, Λόγε, πολὺ ἀβληχρότης·
ὅτι σὺ εἶ μόνος ὁ δημιουργός μου
ὁ ἔμ' ἐκ μὴ ὄντος χειρὶ διαπλάσας,
ὁ τὰς ψυχὰς πάντων ἡμῶν ἀγαπήσας,
οὐδὲν δὲ βδελύσσῃ τῶν σῶν ποιημάτων.
Ἰδοὺ ἐγὼ πρῶτος ἐν παρανομοῦσι
καὶ ἁμαρτωλοῖς τε, οὓς Σὺ ἐλυτρώσω,
ὡς γένωμαι δεῖγμα τοῖς ἄλλοις ἀνθρώποις
τῆς σῆς ἀνεικάστου χρηστότητος, Λόγε.

—

Ἐξομολογήσομαί σοι τὰ εὐεργετήματά σου
τὰ πολλὰ καὶ τὰ μεγάλα ὅτι ἀπὸ Ἅδου πύλας
ἀπὸ Ἅδου κατωτάτου σὺ ἐρρύσω με, Θεέ μου,
οὐχὶ ἅπαξ, ὁ Θεός μου, οὐχὶ δεύτερον καὶ τρίτον,
ἀλλὰ καὶ ἑκατοντάκις, χιλιάκις τε μ' ἐρρύσω·



κἀγὼ μὲν ἀεὶ ἐχώρουν ἐπισπεύδων εἰς τὸν Ἅδην
Σὺ δ' ἀεὶ μὲν ἐπανῆγες· καὶ δικαίως χιλιάκις
Σὺ ἂν καταδίκασές με ἢ ἠθέλησάς με κρῖναι,
ἀλλ' ἀεὶ ἠλέησάς με μὴ θελήσας με δικάσαι,
ὅτι τὰς τοῦ πλάσματός σου τὰς ψυχάς, Θεέ, οἰκτίρεις
μακροθύμως δε ἀνέχῃ τῶν εἰς Σὲ ἁμαρτανόντων,
χαριζόμενος τοῖς πᾶσι τὸν καιρὸν τῆς μετανοίας.
Ὡς πολλὰ τὰ σὰ ἐλέη, Κύριε, ἐν ταῖς ὁδοῖς σου·
νῦν οὖν ταῦτα ὁ Θεός μου, καθορῶ τῷ φωτισμῷ σου
καὶ συνίημι καὶ φρίττω· ἡ ψυχή μου δὲ ἐκλείπει,
Κύριε, ἐπὶ τῷ πλήθει τῶν ἀπείρων οἰκτιρμῶν σου,
Σὺ ἐξήγαγες αὐτὴν γὰρ ἀπὸ ᾅδου κατωτάτου,
αὖθις πρὸς ζωὴν ἐμὲδὲ ἐπανήγαγες, Θεέ μου·
νεκρωθεὶς χαμαὶ ἐκείμην ὥσπερ πτῶμά τι ὁ τάλας
ἀλλὰ ἐξανέστησάς με. Σὸν ἄρα ἔστω, ὅτι ζῶ
καὶ ἐμαυτὸν προσάγω σοι ὅλον ὡς ἀνταπόδωμα,
ὅλον τὸ πνεῦμα ὅλον μου τὸ σῶμα τὴν καρδίαν μου·
ὅλη σοὶ ζήτω ἡ ζωή, ὦ γλυκυτάτη μου ζωή.
Ἐπεὶ Σὺ ἐλυτρώσω με, ἵν' ὅλον καὶ κατέχῃς με·
ὅλον με ἀνεσκεύασας, ἵνα ἀνακτησάμενος
καὶ ὅλον ἔχῃς με ἀεί. Σὲ ἀγαπήσω τοιγαροῦν
ἡ δύναμίς μου, ὁ Θεός, Σὲ ἀγαπήσω, Κύριε,
ἡ εὐφροσύν' ἡ ἄρρητος ἡ ἄκρα ἀγαλλίασις
καὶ οὐ μὴ ζήσομαι ἐγὼ οὐκέτι πλέον ἐμαυτῷ,
ἀλλὰ σοὶ τῷ Σωτῆρί μου. Ὅλη μου ὅλη ἡ ζωὴ
ἡ ἐν τῇ ἀθλιότητι ἀπολωλυῖα, Κύριε,
ἐν τῷ ἐλέει ναὶ τῷ Σῷ, ὡς οἶδας, ἀνεγήγερται·
Σὺ ὁ οἰκτίρμων εἶ Θεός·

καὶ ἐλεήμων Κύριος καὶ εἰς χιλίας γενεὰς
τὸ ἔλεος ἀεὶ ποιῶν τοῖς ἀγαπῶσιν ὁ Θεὸς
τὸ ἅγιόν Σου ὄνομα.

Διὰ τοῦτο ὁ Θεός μου ὁ ἐμὲ καθαγιάζων
διὰ τοῦ ἁγίου νόμου ἐνετείλω ἀγαπᾶν Σε
ἀπὸ ὅλης μου καρδίας, ἀπὸ ὅλης τῆς ψυχῆς μου,
ὅλης μου τῆς διανοίας, καὶ ἐξ ὅλης μου ἰσχύος,
ὅλαις ταῖς δυνάμεσί μου καὶ ἀπὸ τῶν ἐνδοτάτων
σπλάγχνων Σὲ ἀεὶ λατρεύειν ἐν ἁπάσαις τε ταῖς ὥραις
καὶ ἐν ταῖς ῥοπαῖς τοῦ χρόνου ἐν ᾧ τῆς χρηστότητός σου
τοῦ ἐλέους ἀπολαύω, ὅτι τάχ' ἂν ἀπωλόμην,
εἰμὴ Σύ μ' ἀεὶ διεῖπες, καὶ ἀεὶ ἂν ἐτεθνήκειν,
εἰ μή με ἐζωοποίεις· ὀφειλέτης πέλω ἄρα
ἐν παντὶ καιρῷ καὶ χρόνῳ, ὀφειλέτης σοι τυγχάνω,
τῷ μοὶ δαψιλευομένῳ ἐν παντὶ καιρῷ καὶ χρόνῳ
τὰς πολλὰς εὐεργεσίας. Ὥσπερ γάρ μοι ζῶντι οὔτις
οὔτε ὥραν οὔτε ὅλως ἀπαντᾷ λεπτὸν τῆς ὥρας
καθ' ὃ οὐ ταῖς Σαῖς πλουσίαις χρῶμαι Σῶτερευποιίαις,
οὕτω καὶ ῥοπὴν τοῦ χρόνου οὐ προσῆκε παριέναι,
καθ' ἣν μὴ πρὸ ὀφθαλμῶν μου ἔχοιμί Σε, Κύριέ μου,
καὶ ἀεί σε μνημονεύειν καὶ μὴ ἐκ δυνάμεώς μου
ὅλης μου σὲ ἀγαπᾷην.
Ἀλλ' οὐδὲ τοῦτο, Κύριε, ἰσχύω, εἰμὴ Σὺ αὐτὸς
παράσχοις μοι τὴν δύναμιν, ἀφ' οὗ πᾶν ἀγαθόν ἐστιν,
καὶ πᾶν δώρημα τέλειον τὸ καταβαῖνον ἄνωθεν
ἐκ σοῦ τῶν φώτων τοῦ Πατρὸς, ἐν ᾧ οὔ τις παραλλαγὴ
ἢ ἀποσκίασμα τροπῆς. Οὐ γὰρ τοῦ θέλοντός ἐστιν,

οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος σοῦ Θεοῦ
ἡμᾶς ἐν τῷ Σὲ ἀγαπᾶν. Καὶ τόδε δὴ τὸ δώρημα
Σόν ἐστιν ὁ Θεὸς ἡμῶν, οὗ ἅπαν ἀγαθόν ἐστιν.
Κελεύεις οὖν τὸ ὑπ᾽ ἐμοῦ σὲ ἀγαπᾶσθαι ὁ Θεός,
δὸς ὃ κελεύεις, ἀγαθέ, καὶ κέλευε ὃ βούλεσαι.


ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄

Ψυχῆς πόθος ζέων τῆς ἀγαπᾶν τὸν Θεὸν ἐφιεμένης.

Ἀγαπῶ σε ὁ Θεός μου πρὸς δὲ ἔτι ἀγαπᾶν σε
προσεφίεμαι ἀεί σε· ὅτι Σὺ τῷ ὄντι πέλεις
γλυκερώτερος τῇ γεύσει μέλιτος τοῦ γλυκυτάτου,
θρεπτικώτερος παντός τε γάλακτος θρεπτικωτάτου
καὶ φωτὸς παντὸς ὑπάρχεις ἐναυγέστερος τῇ φαύσει.
Ἔνθεν ἐμοὶ καὶ χρυσίου ἀργυρίου τε καὶ λίθων
πολυτίμων σὺ ὑπάρχεις τιμιώτερος, Θεέ μου·
ἀτερπὲς καὶ ἀηδές μοι ἦν ὅ,τι διεπρατιόμην
ἐν αἰῶνι τῷ παρόντι, ἐπεὶ ἅπαν παρεκρίθη
τῇ πολλῇ γλυκύτητί Σου καὶ τῇ ἄκρᾳ εὐπρεπείᾳ
τοῦ σοῦ οἴκου τοῦ ἁγίου, ὃν ἠγάπησα μεγάλως.
Ὦ πῦρ τὸ ἀεὶ μὲν καῖον μὴ ἀποσβεννύμενον δέ!
Ὦ ἀγάπη ἡ ἀεὶ μὲν ὑπερζέουσα καὶ μὴ δὲ
ποτ᾽ ὑποχλιαινομένη! Σὺ περίφλεξόν με ὅλον
ἐκ σοῦ ὅλος ἀναφθείην! Ὅλος ναὶ ἐξαναφθείην,

ἵνα ὅλος σ᾽ ἀγαπῴην! ἧττον γάρ σε ἀγαπᾷ ὃς
ἀγαπᾷ καὶ ἕτερόν τι, εἰμὴ διὰ Σὲ ἀγαπῴη.
Ἀγαπήσω Σε, Θεέ μου, ὅτι Σὺ ἠγάπησάς με.
Καὶ νῦν πόθεν γένοιτό μοι ῥῆμα ἐπαρκὲς τοιοῦτον,
ὥστε με δ·εξιέναι τὰ τεκμήρια τὰ τόσα
τῆς περὶ ἐμὲ μεγίστης, Κύριε, θείας ἀγάπης
καὶ τὰ ὑπὲρ ἀριθμὸν δὲ μοὶ εὐεργετήματά σου,
δι᾽ ὧν ἐξ ἀρχῆς παιδεύων μὲ προήγαγες ἐν τούτῳ.

Μετὰ γὰρ τὴν γενομένην πρὸς ἐμὲ εὐεργεσίαν
τοῦ με κτίσαι ἐκ μὴ ὄντος, ὅτε ἐν ἀρχῇ θελήσας
καθ᾽ ὁμοίωσιν τῆς θείας σῆς εἰκόνος ἔπλασάς με,
ἀνυψώσας καὶ τιμήσας ἐν τοῖς ἄλλοις ὑπὲρ πᾶσι
τοῖς δημιουργήμασί σου κατηγλάϊσας προσέτι
ὅλον με διαφερόντως τῷ φωτὶ τοῦ Σοῦ προσώπου·
ἐπὶ τὸ ὑπέρθυρον δὲ τῆς ἐμῆς, Θεέ, καρδίας τοῦτο
[ἐπισημειώσω,
δι᾽ οὗ με τῶν ἀμοιρούντων τῆς αἰσθήσεως ὡσαύτως
καὶ τῶν ταύτης μετεχόντων ζῴων καὶ κτηνῶν ἀλόγων
ὑπερῄρηκας ἐπίσης, καὶ βραχύ τι τῶν Ἀγγέλων
κατηλάττωσας Θεέ μου. Μικρὸν ἄρα δὲ καὶ τόδε
ἔδοξεν ἐνώπιον τῆς σῆς πολλῆς ἀγαθωσύνης.
Καὶ γάρ με καὶ τοῖς μεγίστοις σοῖς δωρήμασι, Θεέ μου,
τοῖς πολλοῖς καὶ ἐπισήμοις τῶν πρός με εὐποιιῶν σου
καθ᾽ ἡμέραν φιλοστόργως ἔθρεψας ἀδιαλείπτως
καὶ ὡς τέκνον νήπιόν τε ἄντικρυς καὶ ἁπαλόν με
τοῖς μαζοῖς τῆς εὐσπλαγχνίας καὶ τῆς παρακλήσεώς
ἐγαλακτοτρόφησάς με καὶ ἐνεδυνάμωσάς με, [σου



ἵνα γὰρ ἐγώ σοί ὅλος εἴην ἐς ἀεὶ δουλεύων,
πάντα ὅσα τῷ σῷ λόγῳ εἰς τὸ εἶναι ἐληλύθει
ἐμοὶ ὡς δεσπότῃ πάντων Σὺ ὑπέταξας δουλεύειν,

ΚΕΦΑΛΑΙΟΝ Κ'


Ὅτι πάντα ὁ Θεὸς δουλεύειν τῷ ἀνθρώπῳ καθυπέταξε.

Πάντα ὑπέταξας αὐτῷ ὑπὸ τοὺς πόδας τε αὐτοῦ,
ἵν' ὅλος σοι ὁ ἄνθρωπος τελείως καθυποταγῇ·
καὶ ἵνα εἴη ὅλος σός, ἀποκατέστησας αὐτὸν
ἐπὶ τὰ ἔργα τῶν χειρῶν ὅσα ἐδημιούργησας·
ἀμέλει τοι τὰ μὲν αὐτῶν τὰ ἐξωτέρω ἅπαντα
διὰ τὸ σῶμα, Κύριέ, ἡμῶν αὐτὰ παρήγαγες
τὸ σῶμα δὲ διέπλασας διὰ τὴν ἄυλον ψυχήν,
τὴν δὲ ψυχὴν ἐποίησας τῷ θείῳ ἐμφυσήματι,
ἵνα δουλεύῃ ὅλη σοί, ἵνα σχολάζῃ ὅλη σοὶ
καὶ Σὲ δὲ μόνον ἀγαπᾷ. Σὲ εἰς παραμυθίαν μὲν
ἔχουσα μόνον ἑαυτῆς, τὰ δὲ ὑποδεέστερα
εἰς θεραπείαν ἑαυτῆς. Ἅπαν γὰρ τὸ ὑπ' Οὐρανόν,
ὅπερ τῇ γῇ συνέχεται, ὑποδεέστερόν ἐστι
τῆς κατ' εἰκόνα σὴν ψυχῆς πλασθείσης καὶ ὁμοίωσιν,
ἥτις περ καὶ ἐγένετο,
ἵνα τὸ ἄκρον ἀγαθὸν τὸ μόνον τὸ ὑπέρτατον,
ὡς δῶρον ἀνακτήσηται· ὃ κτησαμένη εἴη ἂν

ἐν τῇ μακαριότητι, ᾧ κολληθεῖσα ἡ ψυχή,
μεταβολῆς ἁπάσης τε τῶν ἐπιγείων ἀγαθῶν
καὶ τῆς προσοικειώσεως τοῖς τούτοις συνυπάρχουσιν
ὑπεραρθεῖσα ἠθικῶς τῆς ἧς περ καθ' ὁμοίωσιν
καὶ κατ' εἰκόνα ἔτυχε μεγαλωσύνης ὑψηλῆς
τῆς ἀκροτάτης θείας τε, τὴν ὄψιν τὴν αἰώνιον
ἀρχὴν τὴν ἀτελεύτητον
ἐν ἀταράχῳ τῆς ψυχῆς γαλήνῃ κατοπτεύσεται.

Τηνικαῦτα καὶ ἐν οἴκῳ γὰρ τῶν ἀγαθῶν Κυρίου
ἡ ψυχὴ ἐναπολαύσει, ὧν τῇ παραθέσει μόνον
σύμπαντα, ὅσα ὁρᾶται, ὥσπερ καὶ τὰ μηδὲν ὄντα
προσλογίζεται καθ' ὅλου· ἔστι τἀγαθὰ ἐκεῖνα
ὅσα ὀφθαλμὸς οὐκ οἶδε, καὶ τὸ οὖς οὐκ ἐνωτίσθη
καὶ ἐπὶ καρδίαν ὅλως τοῦ ἀνθρώπου οὐκ ἀνέβη,
ἃ ἡτοίμασε πλουσίως ὁ Θεὸς ἀπὸ αἰώνων
τοῖς αὐτὸν ἀνταγαπῶσιν.
Καὶ Σὺ ταῦτα ὁ Θεός μου τῇ ψυχῇ ἀνταποδώσεις,
οἷς περ δὴ καὶ καθ' ἡμέραν τὰς ψυχὰς τῶν οἰκε-
[των σου
σοῖς δωρήμασιν εὐφραίνεις, ὅτι τὰς ψυχὰς φιλεῖς σύ.

Ἀλλὰ τί εἰμι θαυμάζων τοῦτο, Κύριε, ὁ Θεός μου;
Σὺ τιμᾷς τὴν σὴν εἰκόνα καὶ τὴν ἐξομοίωσίν σου,
καθ' ἣν ὑπὸ τῶν χειρῶν σου αἱ ψυχαὶ αἱ τῶν ἀν-
[θρώπων
διεπλάσθησαν τὸ πρῶτον. Καὶ γὰρ καὶ τῷ ἡμετέρῳ
σώματι καί γ' ἐπικήρῳ τούτῳ ὄντι ἐν ἀτιμώσει



δέδωκας τὴν Οὐρανίαν καθορᾶν ἄπειρον δόξαν
καὶ λαμπρότητα καὶ χάριν, διὰ τῶν σῶν ἀκαμάτων
καὶ ἀόκνων διακόνων τοῦ ἡλίου καὶ σελήνης,
οὕς περ νύκτωρ καὶ ἡμέραν τοῖς υἱοῖς ἀδιαλείπτως,
Σὺ ἐπέστησας δουλεύειν· καὶ ὃν τρόπον ἀναπνέει
ἄνθρωπος τὴν τοῦ ἀέρος καθαρότητα πλουσίως,
Σὺ αὐτῷ ἐδαψιλεύσω· ὅπως δ᾽ ἂν ἀκούοι ἤχους
τὴν τῶν ἐξηχήσεών σου ποικιλίαν ἐδωρήσω·
ὡς δ᾽ ἂν γεύοιτ᾽ ἐχαρίσω τῶν χυμῶν τὰς ποικιλίας
καὶ ποιότητας παντοίας, ὡς δ᾽ ἂν ἅπτοιτο τὰς ὕλας
τὰς τῶν σωματικωτέρων· πρὸς δὲ ἐπὶ τούτοις πᾶσι
καὶ τὰ κτήνη τοῦ πεδίου δέδωκας αὐτῷ ἐν χρήσει
πρὸς βοήθειαν παντοίαν τὰ πτηνὰ τοῦ Οὐρανοῦ τε,
τοὺς ἰχθύας τῆς θαλάσσης, τοὺς καρποὺς τῆς γῆς [ἁπάσης
ἐχορήγησας ἀφθόνως, ὥστε ἐξ αὐτῶν ἐσθίων ἀναψύ- [χεσθαι τελείως
καὶ ἐπιζωογονεῖσθαι. Φάρμακα δ᾽ αὐτῇ ἀπέθου
κατὰ τῶν ποικίλων νόσων καὶ διαφθορῶν παντοίων
τῶν αὐτῷ ἐπερχομένων·
ἔτι δὲ παραμυθίας δέδωκας ἰδιαιτέρας ταῖς ἐπιαντι- [βαινούσαις
καὶ κακώσεσι καὶ λύμαις αὐτῷ προπαρασκευάσας·
Σὺ ὃς ἐλεήμων πέλεις καὶ οἰκτίρμων, ὅστις οἶδας
τὴν διάπλασιν τοῦ σκεύους ὡς ὁ κεραμεὺς γινώσκει·
ὡς πηλὸς ἡμεῖς γὰρ πάντες τῇ χειρί σου, Πλαστουρ- [γέ μου.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

Ὅτι ἐκ τῆς τῶν προσκαίρων ἀγαθῶν διασκέψεως ἡ τῶν ἐπουρανίων ἐπισυνάγεται μεγαλειότης.

Ἀνοιχθείη δή μοι θύρα τοῦ μεγάλου σου ἐλέους
προστεθείη δ᾽ ἐπὶ πλεῖον, δέομαι, τὸ θεῖον φέγγος,
ἵν᾽ ἐμοὶ προσανοιχθείη ἐπὶ μᾶλλόν τε καὶ μᾶλλον·
ἀπὸ γὰρ τῶν ἐλαχίστων τῶνδε τὰ σὰ μεγαλεῖα
καὶ τῶν ὁρωμένων τῶνδε τὰ ἀόρατα νοοῦμεν
ἄφατά σου μεγαλεῖα, Κύριε Θεέ, τῆς δόξης.
Εἰ γὰρ χορηγεῖς τοσαύτας εὐποιΐας σου μεγάλας
ἡμῖν ὑπὲρ τοῦ προσκαίρου σώματος τοῦ ἀναξίου
ἔκ τε Οὐρανοῦ καὶ γαίης καὶ ἀέρος καὶ θαλάσσης,
διά τε φωτὸς καὶ σκότους, διὰ θάλπους τε καὶ ψύχους,
διὰ ὑετοῦ καὶ δρόσου καὶ ἀνέμων τε καὶ ὄμβρων
καὶ διὰ κτηνῶν καὶ δένδρων, διὰ βοτανῶν παντοίων
τῶν ἐκ γῆς τε βλαστημάτων, διὰ τῆς δημιουργίας
τῶν σῶν δημιουργημάτων τῶν ἡμῖν ἐκδουλευόντων
ἐκ διαδοχῆς εὐκαίρως κατὰ χρόνους τεταγμένους
καὶ ἀεὶ ἀνακουφίζεις τὰς παντοίας ἐνοχλήσεις
τὰς αὐτοῖς προσεμπιπτούσας, ἆρ᾽ ὁποῖά ποτε ἔσται
καὶ ὁπόσον δὲ μεγάλα καὶ τὸν ἀριθμὸν τὸ πλῆθος
ὑπερβαίνοντα τὰ ἅπερ ἀγαθὰ ἡτοίμασταί σοι
τοῖς Σὲ Λόγε ἀγαπῶσιν ἐπὶ τῆς ἐν Οὐρανίοις
ποθητῆς ἡμῶν πατρίδος, ἔνθα καὶ ὀψόμεθά σε
πρόσωπον πρὸς πρόσωπόν σου; Εἰ τοσαῦθ᾽ ἡμῖν δω- [ρεῖσαι



τοῖς ἐν τῇ εἱρκτῇ τελοῦσιν, ὅσα ἆρ' ἐπιμνηστεύεις
τοῖς ἐν τοῖς σοῖς ἀνακτόροις φίλοις σου τοῖς κεκλη-
[μένοις;

—

Μεγάλα σου τὰ ἔργα καὶ ἀριθμὸν νικῶντα,
ὦ Βασιλεῦ τῆς δόξης τῆς ἄνω βασιλείας·
εἰ γὰρ καλὰ καὶ λίαν ἡδέα ἐστὶ πάνυ
ἅττα σὺ ἐπινέμεις τοῖς ἀγαθοῖς καὶ φίλοις,
τοῖς πονηροῖς τ' ἐπίσης, ὁποῖά τινα ἔσται
ἆρ' ἃ ἐταμιεύσω τοῖς ἀγαθοῖς καὶ μόνοις;
Εἰ οὕτως τὰ σὰ δῶρα ἀνάριθμα ὑπάρχει
πολυειδῆ τε πάνυ, ἃ νῦν σὺ ἐπιδίδως
τοῖς φίλοις καὶ ἐχθροῖς σου, ὅσον μεγάλα ἔσται
ἡδέα πάντερπνά τε, ἃ μόνοις τοῖς σοῖς φίλοις
Σὺ ἐπιχορηγήσεις; Εἰ δέ εἰσι τοσαῦται
σοῦ αἱ παραμυθίαι ἐν ταύτῃ τῇ ἡμέρᾳ
τῶν θρήνων καὶ δακρύων, ὅσας ἐν τῇ ἡμέρᾳ
τῶν γάμων δαψιλεύσῃ; εἰ ἡ εἱρκτὴ τοιαῦτα
τερπνὰ ἐμπεριέχει, οἷα ἡ ἐλευθέρα
Πατρὶς ἐμπεριέξει; ἃ ὀφθαλμὸς οὐκ εἶδεν
εἰμὴ ὁ σὸς καὶ μόνος, ἅπερ ἡτοίμασταί σοι,
Θεέ, τοῖς σὲ φιλοῦσιν. Καὶ γὰρ κατὰ τὸ πλῆθος
τῆς σῆς μεγαλωσύνης ἔστι γε καὶ τὸ πλῆθος,
Δέσποτα, τῆς μεγάλης πάντως χρηστότητός σου.

—

Μέγας εἶ ἐπουράνιε Κύριε, ὁ Θεός μου,
Μέγας ἀκαταμέτρητος ἀπερινόητός τε
καὶ τῆς μεγαλωσύνης σου οὐκ ἔστιν ὅλως πέρας

οὐδ' ἀριθμός τις ἱκανός, Θεέ, τῆς σῆς σοφίας
οὐδὲ τῆς σῆς χρηστότητος μέτρον ὑπάρχει ὅλως·
οὐδὲ ὁμοίως ἀριθμῷ οὐ μέτρῳ προσμετρεῖται
τῆς σῆς ἀνταποδόσεως τῶν ἀγαθῶν τὸ πλῆθος.
'Αλλ' ὥσπερ μέγας εἶ, Θεέ, οὕτω μεγάλα ἔσεται
καὶ τὰ δωρήματα τὰ σά, ὅτι σὺ εἶ τῶν ὑπὲρ σοῦ
ἀθλούντων, ὁ Θεὸς ἡμῶν, τό τ' ἆθλον τό τε δώρημα.

—

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'

Ὅτι ἡ γλυκύτης ἡ θεία ἅπασαν τὴν παροῦσαν τοῦ Κόσμου πικρίαν ἀνταναιρεῖ.

Ταῦτα, Θεὲ καὶ Κύριε, ὁ ἁγιάζων τοὺς πιστοὺς
τοὺς ἐκλεκτοὺς ἁγίους σου, τὰ σὰ εὐεργετήματα
ἐστὶ μεγάλα, οἷςπερ σύ, τὴν τῶν πεινώντων τέκνων σου
πτωχείαν πλουτισμὸν ποιεῖς. Σὺ τῶν ἀπηλπισμένων
εἶ ἡ ἐλπίς, πανάγαθε. Σὺ εἶ, Θεέ, ὁ στέφανος [γὰρ
τῶν κομισθησομένων σοι ἐν δόξῃ καὶ πολλῇ τιμῇ,
ὃς τοῖς νικῶσιν ἀθληταῖς ὡς ἆθλον προητοίμασται.
Σὺ τῶν πεινώντων χορτασμὸς ὑπάρχεις ὁ ἀίδιος,
ὃς τοῖς πιστοῖς λιμώττουσι τάχει χορηγηθήσεται.
Σὺ πέλεις ἡ παράκλησις ἡ αἰωνία τῶν πιστῶν
δοθησομένη μόνοις τοῖς ὑπερορῶσι τουτουὶ
τοῦ κόσμου τὴν παράκλησιν, πρὸς τὴν παραμυθίαν
[σου



τὴν πέρας οὔ ποθ' ἕξουσαν. Οἱ γάρ τοι ἀνθαιρούμενοι
παραμυθεῖσθαι ἐπὶ γῆς οὐκ ἄξιοι καθίστανται
τῆς παρακλήσεως τῆς σῆς. Ἀλλ' οἱ κατοδυνώμενοι
ἐνταῦθα καὶ ἐλπίζοντες ἐν σοὶ παρακληθήσονται,
καὶ οἱ τῶν παθημάτων σου γενόμενοι συμμέτοχοι
καὶ τῶν σῶν παρακλήσεων αὐτοὶ ἐπιμεθέξουσιν.
Οὐδεὶς παρακληθείη γὰρ ἔν τε τῇ γῇ καὶ ἐν οὐρανῷ
ἐν τῷ αἰῶνι τουτῳΐ, καὶ ἐν τῷ μέλλοντι αὐτῷ.
Ἐν ἀμφοτέροις οὐδὲ εἷς ποτε παρακληθήσεται·
οὐδ' ἔστι ποτὲ δυνατὸν τὸν καθηδυπαθοῦντα νῦν
ἐν τῇ παρούσῃ βιοτῇ χαίρειν καὶ ἐν τῷ μέλλοντι.
θατέρου τῶν αἰώνων γὰρ ἀποστερεῖσθ' ἐπάναγκες
τὸν ὧδε προαιρούμενον τὸν ἕτερον ἀποβαλεῖν.

—

Ταῦτα διανοουμένου, Κύριέ μου ὁ Θεός μου,
ὁ Θεὸς ὁ παρακλήτωρ, ἀπηνήνατ' ἡ ψυχή μου
ἐν τῇ γῇ παρακληθῆναι, ἐφ' ᾧ τῶν σῶν αἰωνίων
παρακλήσεων ἀξία, Κύριε, αὕτη γενέσθαι.

—

Τὸν ἐν ἑτέρῳ γάρ τινι μᾶλλον προσεφιέμενον
παρακαλεῖσθαι ἢ ἐν σοί, ἀποτυγχάνειν δίκαιον
ἅπαντα τῶν σῶν ἀγαθῶν, τῆς παρακλήσεως τῆς σῆς.
Σοῦ, διὰ σοῦ νῦν δέομαι, ὦ ἀκροτάτ' ἀλήθεια,
μὴ ἐπιτρέψῃς μέ ποτε παρακαλεῖσθαι ἔν τινι
ματαίᾳ ὅλως καὶ κενῇ τῶν ὧδε παρακλήσεων
ἢ ἐν τῇ παρακλήσει σου, αἰτοῦμαι δὲ προσπίπτειν μοι
πάντα πικρά, ἵνα γλυκὺς εἶ μόνος τῇ ἐμοὶ ψυχῇ

δοκοίης, Λόγε τοῦ Θεοῦ, ὃς ἡ γλυκύτης πέφυκας
ἡ μόνη ἀνυπέρβλητος, δι' ἧς καὶ πάντα τὰ πικρὰ
τῇ γεύσει μου γλυκαίνεται.

—

Ἡ γὰρ σὴ γλυκύτης, Λόγε, τοὺς ἐκ τοῦ χειμάρρου λίθους
χερμαδίους καὶ Στεφάνῳ κατεγλύκανε ὡς σφόδρα
καὶ τὴν τοῦ πυρὸς ἐσχάραν ἥδυνε τῷ Λαυρεντίῳ·
διὰ δὲ τὸν γλυκασμόν σου οἱ Ἀπόστολοί σου, Λόγε,
γεγηθότες ἐπιστρέφουσιν ἀπὸ τοῦ συνεδρίου,
ὅτι ὑπὲρ τοῦ τιμίου καὶ σεπτοῦ ὀνόματός Σου
ὑπὸ τῶν Ἀρχιερέων ἠξιώθησαν οἱ θεῖοι
αὐστηρῶς ἀπειληθῆναι καὶ δεινῶς ἐξυβρισθῆναι,
καὶ Ἀνδρέας δὲ προῄει ἄσμενος και θαρραλέος,
χαίρων ὅτι ἦτο σπεύδων ἐπὶ τὴν γλυκύτητά σου.
Ἡ αὐτὴ γλυκύτης, Λόγε, καὶ τοὺς δύο κορυφαίους
τῶν ἁγίων μαθητῶν σου οὕτως ἔπλησεν μεγάλως,
ὡς τὸν μὲν σταυρῷ παγῆναι καὶ ὑπὲρ αὐτῆς ἑλέσθαι,
τὸν δ' ὑποβαλεῖν τῷ ξίφει τὴν τιμίαν αὐτοῦ κάραν.
Ὁ πιστὸς Βαρθολομαῖος ἀντωνούμενος δὴ ταύτην
τὴν δορὰν ἡδέως πάνυ ἔδωκε τοῖς ἀπαιτοῦσιν.
Ὡς γευσόμενος δὲ ταύτης καὶ ὁ φίλος Ἰωάννης
ἔπιε ποτήριόν τι πλῆρες ὂν δηλητηρίου·
τηνικαῦτα καὶ ὁ Πέτρος ἀπὸ τῆς γλυκύτητός σου
τούτης γεγευμένος πέλων ἐπιλελησμένος πάντων,
ἔκραξεν ὥσπερ μεθύων, Κύριε, καλόν γε σφόδρα
ἐστὶν ὧδε ἡμᾶς εἶναι· τρεῖς σκηνὰς ποιήσωμέν τε,
μίαν Σοι μίαν Ἠλίᾳ καὶ Μωσεῖ ἑτέραν μίαν·
μείνωμεν ἡμεῖς ἐνταῦθα, ἵνα σοῦ τὸ θεῖον κάλλος

θεωρῶμεν ἀιδίως.
Οὐδενός τινος ἑτέρου ἐπιδεησόμεθα γάρ·
ἀρκετὸν ἡμῖν γὰρ ἔφη ἀρκετὸν τὸ κεκορέσθαι
ἡμᾶς τῆς γλυκύτητός σου, τῆς τοσαύτης καὶ ἀφάτου.
Μιᾶς γὰρ σταγόνος τότε ἀπεγεύσατο ὁ Πέτρος
πρὸς ἡδύτητα δὲ ἄλλην πᾶσαν ὅλως ἀνορέκτως
ἀηδῶς τε διετέθη, τί δέ ποτ' ἂν ἄρα εἶπεν,
εἴπερ ἐπεπώκει οὗτος τὸ ἀπείρως μέγα πλῆθος
τῆς Θεότητός σου, Λόγε, τῶν ἀφράστων γλυκασμάτων,
ὧν ἀπέκρυψας φυλάσσων τοῖς σὲ Λόγε φοβουμένοις;
Ταύτης τῆς ὑπεραφράστου σοῦ γλυκύτητος κἀκείνη
ἀπεγεύσαθ' ἡ Παρθένος ἡ καλὴ 'Αγάθη μάρτυς,
ἥν περ χαίρουσαν ὁρῶμεν καὶ δὴ μεγαλοφρονοῦσαν
ἀπελθεῖν καὶ ἐγκλεισθῆναι ἐν φρικτῷ δεσμωτηρίῳ,
ὡς ἂν ἦν προσκεκλημένη ἐν μεγάλῳ συμποσίῳ.
Τῆς αὐτῆς γεγεῦσθαι οἶμαι καὶ ἐκεῖνον τὸν εἰπόντα
ὡς πολύ, Θεέ, τὸ πλῆθός ἐστι τῆς χρηστότητός σου,
ἧς περ ἔκρυψας φυλάξαι πᾶσι τοῖς Σε φοβουμένοις·
καὶ μὲν δὴ καὶ παραινοῦντα· γεύσασθε καὶ ἴδεθ' ὅτι
ἔσθ' ἡδὺς ὁ Κύριός μου. Αὕτη γάρ σου ἡ ἡδύτης,
ἧς ἀπεκδεχόμεθα νῦν μεταδώσαντα ἡμῖν Σε·
ὑπὲρ ἧς ἀπαύστως πάντες στρατευόμεθά Σοι, Λόγε,
ὑπὲρ ἧς καὶ θανατούμεθα καθ' ὅλην τὴν ἡμέραν,
ἵνα ζήσωμέν σοι, Λόγε, καὶ τῇ σῇ ζωῇ ἀπαύστως,

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'

Ὅτι ὅλη ἡμῶν ἡ ἐλπὶς καὶ ἡ τῆς καρδίας ἡμῶν ἐπιθυμία ἐν τῷ Θεῷ εἶναι ὀφείλει.

Σὺ δέ, ὦ Κύριε Θεέ, ἡ προσδοκία τῶν ἐθνῶν
καὶ δόξα ἡ τοῦ 'Ισραήλ, ἀκρότατον τῶν ἐφετῶν,
πρὸς ὃ ἐστι στενάζουσα ἐκ βάθους ἡ ψυχὴ ἡμῶν
καὶ ἡ καρδία τε ἡμῶν ἡμέραν ὅλην νύκτα τε,
ὦ σπεῦσον μὴ χρονίσῃς δή, ἐγέρθητ' ἐπιτάχυνον,
ἐλθέ, ἵν' ἐκ τῆς φυλακῆς ταύτης ὡς μόνος ἰσχυρὸς
ἔξω ἀγάγῃς καὶ ἡμᾶς, τοῦ ἐξομολογήσασθαι
ἐν τῷ ὀνόματι τῷ σῷ, τοῦ δοξασθῆναί τε ἡμᾶς
ἐν τῷ φωτὶ τῆς δόξης σου. Εἰσάκουσον δὴ τῆς φωνῆς
τοῦ στεναγμοῦ τῶν τέκνων σου καὶ τοῦ κλαυθμοῦ,
[Πανάγαθε,
τῶν κεκραγότων νῦν πρὸς Σέ, Πάτερ ἡμῶν τὸν ἄρ-
[τον δὴ
ἡμῶν τὸν ἐπιούσιον, δὸς πᾶσι σήμερον ἡμῖν.
Ὡς πορευθῆναι καὶ ἡμᾶς ἐν τῇ ἰσχύι τῇ αὐτοῦ
νύκτωρ καὶ μεθ' ἡμέραν τε ἄχρις οὗ φθάσωμεν καλῶς
ἐπὶ τὸ ὄρος τὸ Χωρήβ, τὸ ὄρος σου τὸ ἅγιον·
κἀγὼ δὲ ὁ ἐλάχιστος ἐν τοῖς μικροῖς τοῦ Οἴκου σου,
Ὦ Πάτερ 'Επουράνιε! ἡ δύναμίς μου ἡ ἐλπὶς
πόθ' ἥξω καὶ ὀφθήσομαι κἀγὼ ἐν τῷ προσώπῳ Σου,
ἵνα δὴ ὅσον πρὸς καιρὸν νῦν ἐξομολογούμενος
ἤδη αὐτὸς ἀπὸ τοῦ νῦν εἰς τὸν αἰῶνα ἅπαντα

σοὶ ἐξομολογήσομαι. Μακάριος γὲ ἔσομαι
εἰ γένοιτό μοι, Κύριε, τὴν δόξαν ἐποπτεῦσαί σου,
τίς ἂν μοὶ ἀποδῷ τουτί, ὥστε εἰς τοῦτό με ἐλθεῖν,
Κύριε, ἐπιτρέψειας.

Οἶδα, Κύριε, ναὶ οἶδα, οἶδα καὶ ὁμολογῶ σοι
ὅτι οὐκ εἰμὶ ὁ τάλας ἄξιος, ἵνα εἰσέλθω
σοῦ ὑπὸ τὴν θείαν στέγην, ἀλλὰ ποίησόν μοι τοῦτο
ἕνεκεν τῆς θείας δόξης, Πάτερ, τοῦ Ὀνόματός σου·
καὶ μὴ δή με καταισχύνῃς τὸν σὸν δοῦλον, ὁ Θεός μου,
τὸν ἐλπίζοντα σοὶ μόνῳ. Καὶ τὶς εἰσελεύσεται γὰρ
εἰς τὸν οἶκόν σου τὸν θεῖον τὸ ἁγιαστήριόν σου
τοῦ βλεφάροις ἐποπτεῦσαι πάντα τὰ θαυμάσιά σου,
ἂν μὴ Σὺ ἡμῖν ἀνοίξῃς; Τίς δ' ἀνοίξῃ,ἂν Σὺ κλείσῃς!
Ἐὰν γὰρ αὐτὸς καθέλῃ, οὐδεὶς ὁ οἰκοδομήσων·
καὶ ἢν ἄνθρωπον ἐκκλείσῃς, οὐδεὶς ἔσται ὁ ἀνοίξων.
Ἂν τὰ ὕδατα ἐπίσχῃς, ξηρανθήσεται τὰ πάντα.
Ἐὰν δὲ Σὺ ἐπιπέμψῃς, ἀνατρέψουσι γῆν πᾶσαν.
Καὶ ἐὰν σὺ ἐπανάξῃς ἐπὶ τὸ μὴ εἶναι ὅλως
πάντα τὰ ποιήματά σου, τίς ὁ ἀντερῶν σοι ἔσται;
Ἀλλ' αἰώνιος ὑπάρχει, Κύριε, τοῦ σοῦ ἐλέους
ἡ πολλὴ ἀγαθωσύνη, δι' ἧς ἅπερ ἠβουλήθης,
καὶ ἐποίησας πανσόφως.
Σὺ ἐποίησας τὸν Κόσμον, Κύριε, δημιουργήσας
καὶ ἡμᾶς αὐτὸς σὺ τοίνυν καὶ διεύθυνον ἐν βίῳ·
Σὺ ἡμῶν ὁ πλάστης πέλεις, μὴ παρίδῃς τὰ σὰ ἔργα·
τῷ δὲ ὄντι εἰς αἰῶνας, ὁ Θεὸς ἡμῶν καὶ πλάστης,
ὁ πηλὸς ἡμεῖς οἱ γῆθεν σκώληκες διαπλασθέντες

οὐδαμῶς ἰσχύομέν γε εἴσω πῶς τῶν σῶν γενέσθαι,
Πάτερ, αἰωνιοτήτων, ἐὰν μὴ αὐτὸς ἡμᾶς Σὺ
εὐδοκήσας εἰσαγάγῃς ὁ παραγωγῶν τὰ πάντα
ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'

Ὅτι ἡμῶν ἡ σωτηρία ἐκ τοῦ Θεοῦ ἐστιν

Ἐγὼ δὲ τῶν χειρῶν τῶν σῶν τὸ πλάσμα, θεῖε Ποιητά,
σοὶ ἐξομολογήσομαι ἐν φόβῳ σου διὰ παντός.
«Οὐ γὰρ ἐπὶ τῷ τόξῳ μου οὐδὲ ἐπὶ ῥομφαίᾳ μου
ἐπελπιῶ, οὐδὲ αὐτῇ ἀπὸ κινδύνων σώσει με,
ἀλλὰ ἡ δεξιὰ ἡ σή, ὁ ὑψηλὸς βραχίων σου,
ὁ φωτισμὸς τοῦ θείου σου προσώπου διασώσει με».
Καὶ γὰρ ἀπέγνων ἄλλως ἄν, εἰμὴ αὐτὸς ὁ πλάσας με
ὑπῆρχες ὁ φυλάσσων με, ὁ μὴ ἐγκαταλείπων Σὺ
τοὺς ἐπὶ Σὲ ἐλπίζοντας. Σὺ γὰρ εἶ, ὁ Θεὸς ἡμῶν,
Χρηστός τε καὶ ἐπιεικής, οἰκτίρμων καὶ μακρόθυμος
καὶ ἐν ἐλέει ἅπαντα ὡς ἀγαθὸς οἰκονομῶν.
Ἡμεῖς δὲ κἂν ἡμάρτομεν, ἀλλὰ σοὶ πάντοτέ ἐσμεν.
καὶ ἢν δὲ ἁμαρτήσωμεν, σοὶ αὖθις, Κύριε, ἐσμέν.
ἴσμεν καὶ γὰρ ὅτι ἡμεῖς παρὰ σοὶ ἐλογίσθημεν.
Ὡς φύλλον πάντες γὰρ ἡμεῖς καὶ ματαιότης γέ ἐσμεν
πᾶς ἄνθρωπος ζῶν ἐπὶ γῆς καὶ οἷος ἄνεμός ἐστιν
ἡ ἐπὶ γῆς ζωὴ ἡμῶν. Μὴ ἐποργίζου δὴ ἡμῖν,

εἰ δὲ καὶ πίπτομεν, Θεέ, οἱ νήπιοι οἱ σοὶ ἀεί,
γινώσκεις ὁ Θεός ἡμῶν τὸ πλάσμα τῶν χειρῶν τῶν σῶν.

Μὴ δὴ πρὸς φύλλον, Κύριε ὁ ἐν ἰσχύι ἀνείκαστος,
μὴ δὴ πρὸς φύλλον ὃ ὑπὸ ἀνέμου ἀφαρπάζεται
ἐθέλεις ἐπιδείξασθαι τὸ κράτος τῆς ἰσχύος σου ;
μὴ κάρφος αὐαλέον τι ἐλαύνεις; ἢ μὴ κύνα Σύ,
μὴ ψύλλαν ὑπὸ δίκην ποτ' ἄξεις ὁ πάντων ποιητής,
ὁ Βασιλεὺς τοῦ Ἰσραὴλ ὁ ὢν ἀΐδιος Θεός;
Κύριε, ἀκηκόαμεν περὶ τῶν θείων οἰκτιρμῶν
καὶ περὶ τοῦ ἐλέους σου, ὅτι ζωὴ ὢν θάνατον
ἀνθρώπῳ οὐκ ἐποίησας, οὐδὲ θνησκόντων, Κύριε,
τῇ ἀπωλείᾳ χαίρεις Σύ. Διὸ δὴ σοῦ δεόμεθα
σοῦ ἕνεκεν αὐτοῦ, Θεέ, μὴ ἐπιτρέψῃς πώποτε
ἐπικρατῆσαι ὅπερ οὐκ αὐτός, Θεέ, ἐποίησας
τοῦ οὗπερ σὺ ἐποίησας· εἰ γὰρ οὐ χαίρεις, ὁ Θεός,
τῇ ἀπωλείᾳ τῇ ἡμῶν, τί τὸ κωλῦον ἔσται σε
τὸν ἅπαντα δυνάμενον, τοῦ χαίρειν Σε διὰ παντὸς
ἐπὶ τοῦ πλάσματος τοῦ σοῦ τῇ σωτηρίᾳ, Κύριε ;
Ἐὰν γὰρ θέλῃς δύνασαι τῆς ἀπωλείας σῶσαί με·
ἐγὼ κἂν ἐθελήσω δὲ οὐδέποτε δυνήσομαι
ὁ τάλας σῶσαι ἐμαυτόν. Ναί τηλικοῦτον τῆς ἐμῆς
ὑπάρχει ἀθλιότητος τὸ μέγεθος φιλάνθρωπε.

Τὸ βουληθῆναι τοῦτο μέν, Δέσποτα, κεῖται παρ' ἐμοὶ
τὸ ἐκτελέσαι δὲ οὐχί· ἀλλά γε καὶ τὸ ἀγαθὸν
ἐθέλειν οὐχὶ κέκτημαι ἣν μὴ θελήσῃς, Κύριε·
οὐδ' ὅπερ θέλω τοῦτο δὲ καὶ ἐργασθῆναι δύναμαι,

ἐὰν ἡ δύναμις ἡ σὴ μὴ αὕτη ἐνισχύσῃ με·
καὶ ὃ δὲ δύναμαι ἐγὼ ἐνίοτε οὐ βούλομαι,
ἐὰν μὴ γένηται τὸ σὸν θέλημα ὁ Θεὸς ἡμῶν
καθάπερ ἐν τῷ Οὐρανῷ ὡσαύτως καὶ ἐπὶ τῆς γῆς.
Ὅπερ δὲ δήπου βούλομαι καὶ δύναμαι ἐργάσασθαι,
τοῦτο τυγχάνω ἀγνοῶν, ἐὰν μὴ ἡ σοφία Σου
ἡ φωταυγὴς φωτίσῃ με· εἰ δὲ καὶ ἐπιγνοίην γε
ἔστι μὲν ὅτε θέλοντος, ἔσθ' ὅτε δυναμένου μου,
ἐξοίχετ' ἡ σοφία μου φρούδη καὶ ὅλως ἀτελής,
ἂν μὴ βοηθηθείη πῶς παρὰ τῆς πανσοφίας σου.

Τοιγαροῦν ἐπειδὴ κεῖται ἅπαντα τῇ σῇ βουλήσει
καὶ οὐδείς, ὃς ἀντιστήσετ' ἔστι τῷ βουλήματί σου,
Δέσποτα ὦ τῶν ἁπάντων, ὁ τῶν πάντων κυριεύων
πάσης τε σαρκὸς δεσπόζων καὶ πάνθ' ὅσα ἂν ἐθέλοις
ποιῶν καὶ κατασκευάζων ἔν τε τοῖς ἐπουρανίοις
ἐπὶ γῆς καὶ ταῖς θαλάσσαις καὶ ἐν πάσαις ταῖς ἀβύσσοις,
γενηθήτω τοίνυν, Λόγε, καὶ ἐν ἡμῖν τὸ θέλημά σου
ἐφ' οἷς ἐπικεκλημένον εὕρηται τὸ ὄνομά σου
Μὴ δὴ τόδε σου τὸ πλάσμα, ὁ Θεός, ἐξαπολέσθω,
ὅπερ ἔπλασας εἰς δόξαν τοῦ σεπτοῦ ὀνόματός Σου.
τίς γὰρ γεννητὸς ὑπάρχει ἀπὸ γυναικὸς ὃς οὐ μὴ
ὄψεται θανάτου ὄψιν ; ὅστις ῥύσεται ἐξ Ἅδου
τὴν ψυχήν, εἰ μὴ σὺ μόνος ῥύσαιο, ὦ ἡ ζωὴ Σὺ
ἡ ζωοποιὸς τοῖς πᾶσι, δι' οὗ καὶ ζωῆς τὰ πάντα
εἴληφεν, ζωὴ τῶν πάντων.



ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄

Ὅτι ἡ τῶν ἀνθρώπων θέλησις ἀδρανής ἐστι καθ' ἑαυτὴν πρὸς τὰ ἀγαθὰ τῶν ἔργων ἄνευ τῆς παρὰ τοῦ Θεοῦ χάριτος.

Ὡς γὰρ ἤδη, ὁ Θεός μου, σοὶ ἐξωμολογησάμην,
τῆς ζωῆς ἡ ὕμνησίς μου δύναμίς μου σωτηρίας,
ἣν ἐγώ ποτε ὁ τάλας πεποιθὼς ἐξ ἀγνωσίας
ἐπὶ τῇ ἐμῇ ἰσχύι, αὕτη δὲ ἰσχὺς οὐκ ἦτο·
οὕτω τρέχειν δὲ ἐθέλων, ἔνθ' ἑστάναι μᾶλλον ᾤμην,
ἐκεῖ ἔπιπτον πολλάκις καὶ ὀπίσω ἐγινόμην
ἤ περ ἔμπροσθεν βαδίζων· ὃ δ' ἐδόκουν ἐφικέσθαι·
ἀπ' ἐμοῦ ἐκεῖνο μᾶλλον ἦν ἀπομεμακρυσμένον.
Οὕτω δέ πως τῆς ἰσχύος τῆς ἐμῆς πολλάκις μάτην
ἦν διαπειρώμενός τε. Νῦν ἀλλὰ συνίημι δέ,
ἐπειδὴ ἐφώτισάς με. Καὶ γὰρ ἔφην τόδε δράσω
καὶ ἐκεῖνο ἐκτελέσω, ἔπειτα οὔτε ἐκεῖνο
οὐδὲ τοῦτο ἐτελεῖτο· ναὶ παρέκειτο τὸ θέλειν,
πλὴν ἀπῆν τὸ δύνασθαί με, ἢ παρῆν τὸ δύνασθαί με,
οὐ παρῆν δέ μοι τὸ θέλειν· ὅτι ταῖς δυνάμεσί μου
ἐπεποίθειν ἐν τῷ βίῳ.

Νῦν δ' ἐξομολογήσομαι, Κύριε ὁ Θεός μου,
Πάτερ μου ἐπουράνιε δημιουργὲ τῶν ὅλων
τῶν ὄντων ἐν τῷ Οὐρανῷ καὶ ἐπὶ πρόσωπον τῆς γῆς·
ὅτι οὐχὶ ἐν τῇ αὐτοῦ δυνάμει κατισχύσ' ἀνήρ,
ἵνα ἀφρόνως πᾶσα σὰρξ καυχήσοιτο ἐν ἑαυτῇ·

οὐ γὰρ ἀνθρώπου ἐστὶ τὸ δύνασθαι ὅ,τι βούλεται,
ἀλλ' ὑπὸ σοῦ τὰ βήματα ἀνθρώπων κατευθύνεται,
τῶν μή ποτε παρ' ἑαυτῶν φρονούντων κατευθύνεσθαι,
ἀλλὰ ὁμολογούντων ὡς παρὰ σοῦ κατευθύνονται.
Τοίνυν καθικετεύομεν, εὐδόκησον, φιλάνθρωπε,
διὰ ἐλέους σπλάγχνων σου τοῦ διασῶσαι καὶ ἡμᾶς,
οὓς τῇ χειρί σου ἔπλασας, ὅτι σὺ δύνασαι ἡμᾶς
σῶσαι θανάτου βουληθείς· καὶ παρὰ τῇ θελήσει σου
κεῖται, Θεέ, ἡ δύναμίς τῆς σωτηρίας τῶν πιστῶν.

ΚΕΦΑΛΑΙΟΝ Κϛ΄

Περὶ τῶν ἐξ ἀρχῆς τοῦ Θεοῦ εὐεργετημάτων

Κύριε, τοῦ σοῦ ἐλέους, ὃ ὑπὲρ ἡμῶν ἀρχῆθεν
ἐπεδείξω, μνήσθητι δή, δι' οὗ ἐν ταῖς εὐλογίαις
τῆς πολλῆς χρηστότητός σου Σὺ προέφθασας σοὺς
[δούλους.
Πρὸ τοῦ γάρ με γεννηθῆναι τὸν υἱὸν τῆς σῆς παιδίσκης
Κυριέ μου ἡ ἐλπίς μου, ἀπὸ τῶν μαστῶν μητρός μου
Σὺ ἐμοῦ προκατελάβου, τρίβους μοι προετοιμάσας,
ἃς ἐγὼ ἀεὶ βαδίζων, Κύριε, πορεύσωμαί γε
καὶ ἀφίξωμαι ἐπὶ τὴν δόξαν τοῦ σκηνώματός σου.
Πρὶν γὰρ ἢ ἐν τῇ κοιλίᾳ τῆς μητρός μου διαπλάσαι
Σὺ ἐπέγνως με, Θεέ μου· καὶ πρὸ τοῦ μὲ ἐκ τῆς μήτρας
ἐξελθεῖν ὡς προγινώσκων κατὰ τὸ εὐάρεστόν σοι

με προώρισας ὡς οἶδας.
'Αλλ' ὁποῖα πέλει ἄρα, Κύριε, τὰ γεγραμμένα
ἐν τῇ ἀπορρήτῳ βίβλῳ τῆς βουλῆς σου τῆς ἁγίας
περὶ τοῦ πτωχοῦ οἰκέτου τοῦ υἱοῦ τῆς σῆς παιδίσκης;
ἐγὼ ἀγνοῶ τελείως διὸ καὶ πτοοῦμαι σφόδρα.

—

'Αλλά, Κύριε, Σὺ Οἶδας· ὅπερ προσδοκῶν τυγχάνω
ἐν διαδοχαῖς ἀπαύστοις ἡμερῶν καιρῶν καὶ χρόνων
ἀπὸ τοῦδε εἰς αἰῶνας εἰς ἐτῶν τε χιλιάδας
τῆς δὲ τῆς ἐπιχρονίου παρατάσεως ἀπαύστου,
τοῦτο δὴ κατ' ἐναντίον τῆς ἀιδιότητός σου
ἤδη γέγονεν τελείως· καὶ τό γε ἐσόμενον δὴ
ἄρτι γεγονὸς ὑπάρχει· ἐμοὶ δέ, ὅτι ἐν τῇδε
ἕστηκα νυκτὶ τοῦ ζόφου, ταῦτα ὅλως ἀγνοοῦντι
ἔπεισι εἰκὸς φοβεῖσθαι καὶ ἀδιαλείπτως τρέμειν·
πολλοὺς γάρ μοι τοὺς κινδύνους καθορῶ ἀπηρτημένους
πανταχόθεν ὁ Θεός μου· ἐχθροῖς δὲ δεινοῖς καὶ πλεί
[στοις
κεῖμαι θήραμα ὁ τάλας.
Πλήθει δὲ ἀναριθμήτων ταλαιπωριῶν παντοίων
καὶ τῆς κακοδαιμονίας ἐπὶ τοῦδε δὴ τοῦ βίου
τῆς νῦν ἐπιπολαζούσης πάντοθεν περιστοιχοῦμαι·
καὶ εἰ μὴ ἐν τοῖς τοσούτοις δεινοῖς ἀναστρεφομένῳ
ἡ ἀντίληψις ἡ θεία ἡ παρὰ σοῦ δὴ παρείη,
τέλεια ἂν ἀπογνοίην.

—

'Αλλ' ὕπεστί μοι νῦν ἐλπὶς μεγάλη, ὁ Θεὸς ἡμῶν,
ἐρειδομένη ἐπὶ σοὶ τῷ πανευμενεστάτῳ μοι

Θεῷ μοι τῷ παμβασιλεῖ.
καί γε ἐπὶ τὸ ῥᾷόν μου ὁ νοῦς ἀποκαθίσταται,
ἀναπεμπαζομένῳ μοι τὸ πλῆθος τῶν σῶν Οἰκτιρμῶν
καὶ τὰ προηγηθέντα τοῦ ἐλέους σου τεκμήρια,
ἅπερ πρὶν γεννηθῆναί με, Κύριε, μὲ προέφθασαν.
Νυνὶ δὲ ἰδιαίτερον, Θεέ μου, μοὶ ἐπέλαμψαν
ἅπερ ὑπομιμνήκει τε, ἐνάγει ἐπελπίζειν τε
περὶ τῶν ἀμεινόντων τε καὶ τῶν τελεωτέρων τε
ὡς τῶν μελλόντων ἀγαθῶν, ἅπερ τοῖς ἀγαπῶσί σε
φυλάττεις ἐν ταμείοις σου· ὥστε καὶ χαίρειν με ἐν σοί,
καὶ ἀιδίῳ χαρμονῇ, δι' ἧς εὐφραίνεις εἰς ἀεὶ
Σὺ τὴν ἐμὴν νεότητα.


—

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'

Περὶ τῶν 'Αγγέλων τῶν εἰς διαφύλαξιν τῶν ἀνθρώπων ἐντεταλμένων.

Καὶ γὰρ Σὺ ἠγάπησάς με ἡ ἐμὴ μόνη ἀγάπη,
πρὶν ἐγὼ σὲ ἀγαπήσω καὶ κατὰ τὴν σὴν Εἰκόνα,
Κύριε, διέπλασάς με καὶ προτέταχάς με πάντων
τῶν σῶν δημιουργημάτων· ἣν ὑπεροχήν μου δήπου
ταύτην τηνικαῦτα μόνον γε τελῶ ὁ τάλας σώζων,
ἐπειδὰν σ' ἐπιγινώσκω, δι' ὃν καὶ ἐποίησάς με,

—



Πρὸς δὲ ἔτι τοὺς Ἀγγέλους πνεύματα ποιεῖς, Θεέ μου,
«ὅστις ἐνετείλω τούτοις τοῦ ἀεὶ διαφυλάττειν
μὲ ἐν πάσαις ταῖς ὁδοῖς μου μὴ τὸν πόδα μου πρὸς
κατὰ τὴν ὁδὸν προσκόψω». [λίθον
Οἵδ' εἰσιν οἱ καθεστῶτες φύλακες ἐπὶ τὰ τείχη
Ἱερουσαλὴμ τῆς νέας· Ταῦτ' ἐστι τὰ κύκλῳ ὄρη
τῆς ἁγίας πόλεώς σου τὰ ἀεὶ ἐγρηγοροῦντα
καὶ φυλάσσοντα τὴν νύκτα φυλακὰς ἐπὶ τὴν ποίμνην,
μή ποτε ὁ πολεμήτωρ ὁ ἀρχαῖος οὗτος δράκων τὰς
[ψυχὰς ἡμῶν ἁρπάσῃ,
ὃς ὀρύεται ὡς λέων καὶ ἀδιαλείπτως κύκλῳ
περιέρχεται ἐτάζων, τίνα πρῶτον καταπίῃ.
Οὗτοι εἰσιν οἱ πολῖται πόλεως τῆς μακαρίας
Ἱερουσαλὴμ τῆς ἄνω τῆς μητρὸς τῆς ὑπερτέρας
οἱ ἀποστελλόμενοί σοι
διὰ τοὺς κληρονομῆσαι μέλλοντας τὴν σωτηρίαν,
ὥστε τούτους περισώζειν ἀπὸ τῶν ἐχθρῶν τὰ βέλη
καὶ αὐτοὺς διαφυλάττειν ἐν ταῖς τρίβοις ἐκ παγίδων
καὶ ἀεὶ προσενισχύειν καὶ ἀνεκδιδάσκειν πάντα,
καὶ τῶν τέκνων σου προσάγειν τὰς λατρείας καὶ δεήσεις
κατ' ἐνώπιον τῆς δόξης τῆς μεγαλειότητός σου.


—

Φιλοῦσι γὰρ οἱ Ἄγγελοι τοὺς συμπολίτας τοὺς αὐτῶν,
δι' ὧν τὰ ἐκ τῆς πτώσεως καὶ κατερείψεως αὐτῶν
ἐπισυμβάντα ῥήγματα ἐν προσδοκίᾳ εὕρηνται
ὡς ἐπισκευασθήσονται.
Ἔνθεν τοι καὶ συντόνῳ δὲ ἐπιμελείᾳ καὶ σπουδῇ
καὶ ἐπαγρύπνῳ φυλακῇ ἀεὶ ἡμῖν συμπάρεισιν

ἁπανταχοῦ συντρέχοντες τῶν ἡμετέρων τ' ἀναγκῶν
προθύμως προνοούμενοι, καὶ μέσον τε ἡμῶν καὶ σοῦ,
Δέσποτα, διαθέοντες ἐνδελεχῶς οἱ Ἄγγελοι.
Καὶ τοὺς ὀλοφυρμοὺς ἡμῶν καὶ γόους πρὸς Σὲ τὸν
εὐθέως ἀναφέροντες, τὸ δὲ πολὺ ἐπιρρεπὲς [Θεὸν
τῆς παρὰ σοῦ χρηστότητος πρὸς ἔλεος καὶ ἱλασμὸν
ἐκδυσωποῦντες, Κύριε, ἵνα τῆς χάριτος τῆς σῆς
τὴν εὐλογίαν τὴν ἡμῖν τελοῦσαν λίαν ποθεινὴν
ἡμῖν ἐπαναγγείλωσιν. Εἰσὶ γὰρ συμβαδίζοντες
ἡμῖν ἐν πᾶσιν, ἀγαθὲ, τοῖς διαβήμασιν ἡμῶν·
καὶ εἰσιόντων μὲν ἡμῶν εἰσίασί τε καὶ αὐτοὶ
καὶ ἐξιόντων μεθ' ἡμῶν συγχρόνως συνεξίασιν
ἐταστικῶς προσέχοντες, εἴπερ μετὰ σεμνότητος
καὶ εὐσεβείας τῆς πρὸς Σὲ διατελοῦμεν ἐς ἀεὶ
μέσῳ ἀναστρεφόμενοι σκολιωτάτης γενεᾶς.
Ὁπόσῃ τε δὲ τῇ σπουδῇ καὶ τῇ ἐφέσει τῆς ψυχῆς
ἐπιζητοῦμεν πάντοτε, Θεέ, τὴν βασιλείαν σου
καὶ τὴν δικαιοσύνην σου, καὶ δὴ ἡλίκῳ φόβῳ τε
καὶ τρόμῳ σοι δουλεύομεν χαίροντες ἅμα σὺν ἡμῖν
αὐτοί τε οἱ φρουροὶ ἡμῶν οἱ ἅγιοί σου Ἄγγελοι
ἐναγαλλόμενοι καὶ ἐν τῇ εὐφροσύνῃ τῆς ἡμῶν
καρδίας, Πάτερ ἅγιε. Οἱ δὲ αὐτοὶ ἀείποτε
ἐπιμοχθούντων τε ἡμῶν ἐπιλαμβάνονται ἡμῶν,
διαναπαυομένους δὲ καὶ περισκέπουσιν ἡμᾶς,
ἐναγωνιζομένους δὲ προθύμους ἀποφαίνουσιν,
νικῶντας ἀναστέφουσι, μετὰ χαιρόντων χαίρουσι
(ἀλλὰ χαιρόντων ἐπὶ σοὶ) μετὰ πασχόντων πάσχουσι,
σοῦ γε πασχόντων ἕνεκα.

Ἡ διὰ τῶν Ἀγγέλων σου κηδεμονία πρὸς ἡμᾶς
μεγάλη τε καὶ θαυμαστή! μεγάλη καὶ ἡ πρὸς ἡμᾶς
τούτων αὐτῶν διάθεσις, Θεέ, ἡ ἀγαπητική.
Καὶ ὅπερ ἀγαπᾷς αὐτὸς συναγαπῶσι καὶ αὐτοί,
φρουροῦσί τε μὲν οὓς αὐτός, Σὺ περισώζεις, Κύριε,
ἀπολιμπάνουσι δὲ οὓς ἐγκαταλίποις Σὺ αὐτός·
οὐδέ γε στέργουσιν αὐτοὶ ἐργάτας τῶν ἀνομιῶν,
ὅτι αὐτὸς ἐμίσησας τοὺς πράσσοντας παράνομα
καὶ τοὺς λαλοῦντας ψεύδεα πάντας, Θεέ, ἐξαπολεῖς.
Ὁσάκις οὖν τὸ ἀγαθὸν ἐνώπιόν σου πράττομεν,
ἐφήδονται οἱ Ἄγγελοι, καὶ ἀνιῶνται δαίμονες.
Ὁσάκις δὲ τοῦ ἀγαθοῦ ἀφρόνως ἀποκλίνομεν,
τὸν μὲν Βελίαρ τέρπομεν, τῶν δὲ Ἀγγέλων τὴν χαρὰν
αἴροντες ἀνακόπτομεν· χαρὰ γὰρ ἔστι τούτοις μὲν
ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι ἐκ ψυχῆς
καὶ πράττοντι τὸ ἀγαθόν, τῷ Διαβόλῳ δὲ χαρὰ
ἐπὶ δικαίῳ ἔν τινι ἐκ πλάνης ἁμαρτήσαντι,
καὶ μὴ γνωσιμαχήσαντι. Δὸς τοίνυν, ὦ Δημιουργὲ
Ἀγγέλων καὶ ἀνθρώπων τε, δὸς χαίρειν τοῖς Ἀγγέ-
[λοις σου,
Θεέ, ἐπὶ τῶν ἀγαθῶν, ἵνα αὐτὸς Σὺ δι' αὐτῶν
εἴης ἀεί τε ἐν ἡμῖν εἰς τὸν αἰῶνα αἰνετός.
καὶ σὺν αὐτοῖς τε καὶ ἡμεῖς εἰσενεχθῶμεν εἰς τὴν σὴν
ποίμνην τὴν Ἐπουράνιον, καὶ σὺν ἐκείνοις καὶ ἡμεῖς
ἅμα τῷ σῷ ὀνόματι τῷ Παναγίῳ, Δέσποτα,
διατελῶμεν εἰς ἀεὶ συνεξομολογούμενοι.

Τούτων ἐγὼ ὁ ταπεινός, Θεέ, ἐπιμιμνησκόμενος
ἐνώπιόν σου ταπεινῶς νῦν ἐξομολογοῦμαί σοι
θερμῶς σὲ ἀνυμνολογῶν, ἕνεκεν τῶν μεγάλων σου
παντοίων εὐεργεσιῶν! αἷς περ ἡμᾶς ἐτίμησας
ποιῶν ὑπὲρ ἡμῶν Αὐτὸς πνεύματα τοὺς Ἀγγέλους σου
ἀποστελλόμεν' ὑπὸ Σοῦ εἰς ἡμετέραν πάντοτε
διακονίαν, ἀγαθέ. Δέδωκας μὲν γὰρ ἅπαν Σὺ
ὅ,τι ὑπὸ τὸν Οὐρανόν, Κύριε, περιέχεται·
ὡς δ' εἰ μικρὸν ταῦτα ἡγοῦ, καὶ τὰ ὑπὲρ τοὺς Οὐρανοὺς
ἔτι γε προσεπέθηκας! Θεέ, Σὲ αἰνεσάτωσαν
οἱ Ἄγγελοί σου ἅπαντες περὶ τῶν θείων ἀγαθῶν,
ἃ ἐχαρίσω δαψιλῶς πᾶσι τοῖς φοβουμένοις σε!
ἐξομολογησάσθωσάν σοι ἅπαντα τὰ ἔργα σου!
καὶ Σὲ εὐλογησάτωσαν αὐτοί σού τε οἱ ἅγιοι!
Βαβαὶ ἧς καταξίωσας τιμῆς ἡμᾶς τοὺς γηγενεῖς,
ἧ κατεπλούτισας ἡμᾶς! Βαβαὶ τῶν δωρημάτων σου,
οἷς κατηγλάϊσας ἡμᾶς! Ὡς θαυμαστόν σου τοὔνομα
ἐν πάσῃ, Κύριε, τῇ γῇ! τί γάρ ἐστιν ὁ ἄνθρωπος
ὅτι τοσοῦτον Σὺ αὐτόν, Κύριε ἐμεγάλυνας;
ἢ ὅτι οὕτως σὺ αὐτῷ προσέθου τὴν καρδίαν σου;
Εἶπας γὰρ σύ, ὦ Κύριε, ἡ μόνη αὐταλήθεια
ἡ μόνη ὑπεράρχαιος, ὅτι ἐστί μοι ἡ τρυφὴ
μετὰ ἀνθρώπων τῶν Υἱῶν. Οὐχὶ σαπρία ἄνθρωπος;
σκώληξ δ' ἀνθρώπου ὁ υἱός; οὐ ματαιότης ἅπαντα,
καὶ ματαιότης ἐπὶ γῆς πέφυκεν ἅπας ἄνθρωπος;
καὶ ἐπανοίγειν ἀξιοῖς τοὺς ὀφθαμούς σου ἐπ' αὐτῷ,
καὶ ἀξιοῖς σὺ μετ' αὐτοῦ εἰς κρίσιν τε εἰσέρχεσθαι;



ΚΕΦΑΛΑΙΟΝ ΚΗ'

Περὶ τοῦ βάθους τοῦ προορισμοῦ καὶ τῆς Θείας Προγνώσεως.

Ὦ βαθυτάτη ἄβυσσος, Σὺ δίδαξόν με, δέομαι,

Σοφία ἡ δημιουργός. Σὺ ἐν σταθμῷ ἡ στήσασα
τὰ ὄρη τῇ δυνάμει σου, τὰς νάπας τε δὲ ἐν ζυγῷ·
ἡ τὸν γῆς ὄγκον τοῖς τρισὶ δακτύλοις σου μετέωρον
ἐν Οὐρανῷ κρεμάσασα. Σὺ μετεώρησον κἀμοῦ
τὸν ὄγκον τῆς παχύτητος, ὃν φέρω τὸν τοῦ σώματος,
μετάρσιον τοῦτον πρὸς σὲ τοῖς ἀθεάτοις σου τρισὶ
δακτύλοις αἰωρήσασα, ὅπως ἂν ἴδω καὶ ἐγὼ
καὶ γνώσωμαι, ὡς θαυμαστὸς εἶ ὁ Θεὸς ἐπὶ τῆς γῆς,
τὸ φάος τὸ ἀρχίφωτον τὸ φαῖνον πρὸ παντὸς φωτὸς
ἐν τοῖς ἁγίοις ὄρεσι τοῖς τῆς αἰωνιότητος,
ἡ ἔστιν ὑπεράρχιος· ᾧ ἅπαντα γυμνά τε ἦν
ἀνακεκαλυμμένα τε πρὶν ἢ γενέσθαι ἐμφανῆ·
τὸ φῶς ὃ ἀποστρέφεται κηλῖδα πᾶσαν, ἅτε δὴ
ὑπάρχον καθαρώτατον καθόλου τε ἀμίαντον,
τὶς ἐν ἀνθρώποις σοι τρυφή; τὶς κοινωνία εὕρηται
φωτὶ πρὸς σκότος, Κύριε, ἐν τίνι τὸ ἀμφὶ ἐστι
ἀνθρώπῳ σὸν ἐντρύφημα; Ποῦ ἐν ἐμοὶ ἡτοίμασας
σαυτῷ ἁγιαστήριον ἐπάξιον γενόμενον
τῆς σῆς μεγαλειότητος, ὅπερ ἂν εὕροις πρόξενον
τερπνότητος, μακάριε, ἐν τούτῳ εἰσεληλυθώς;

Σοὶ τρίκλινον γὰρ καθαρὸν ἐμπρέπει, ὑπεράγιε,
Ὦ δύναμις καθαρτική, ἡ οἵα τε ταῖς καθαραῖς
καρδίαις ἐποπτάνεσθαι, ἔλαττον δ' ἔχεσθαι πολλῷ.
Ἐν τῷ ἀνθρώπῳ ποῦ ἐστιν ναὸς τοσοῦτον καθαρός,
ὅστις ἂν ὑποδέξαιτο Θεὸν τὸν βασιλεύοντα
δημιουργὸν τοῦ σύμπαντος;
Τίς καθαρὸν δυνήσεται ποιῆσαι τὸν ἀκάθαρτον
τὸν συλληφθέντα ἄνθρωπον ἐκ σπέρματος μὴ καθα-
οὐχὶ Σὺ ὃς εἶ καθαρός; [ροῦ;
Ἀπὸ τοῦ ἀκαθάρτου γὰρ τίς ὃς καθαρισθήσεται;
Καθ' ὃν γὰρ νόμον ἔθου τοῖς πατράσι πάλαι ἐν Σινᾷ
ἐν διακαίοντι πυρὶ τὸ ὄρος ἅπαν καὶ φλογὶ
καὶ ἐν νεφέλῃ σκοτεινῇ τῇ ἐπικαλυπτούσῃ τε
τὸ ὄρος ἅπαν οὗ εἰ μὴ ὢν καθαρὸς ἐφάψαιτο,
ἀκάθαρτον δὴ ἔσεται.
Ἡμεῖς δὲ πάντες ὡσπερεὶ ῥάκος ἐσμὲν ἀκάθαρτοι,
ἅτε ἀπὸ φυράματος μὴ προϊόντες καθαροῦ
ἐπὶ μετόπων φέρομεν κηλῖδα τὴν ἡμῶν αὐτῶν,
ἣν ἐπικρύψαι σοι ἡμεῖς τῷ προειδότι ἅπαντα
ἁπάντων οὐ δυνάμεθα· διὸ οὐδ' εἶναι καθαροὶ
αὐτοί ποτε δυνάμεθα, εἰ μὴ καθαριεῖς ἡμᾶς
αὐτὸς ὁ μόνος καθαρὸς ὑπάρχων ἐν τῷ σύμπαντι.

—

Καθαρίζεις δ' ἐξ ἡμῶν οἷς ἄν περ ἐν Υἱοῖς ἀνθρώπων
εὐδοκήσαις ἐνοικεῖν Σύ, οὓς κατὰ τοὺς ἀπροσίτους
σοῦ βυθοὺς τῶν ἀπορρήτων τῆς σοφίας σου κριμάτων
καὶ μὲν ἀνεξιχνιάστων, ὄντων δὲ ἀεὶ δικαίων,
καίτοι ἀποκρύφων ὄντων, μὴ προηγουμένου ὅλως

ἐν αὐτοῖς μηδεμιᾶς κἂν ἀξιοπρεπείας ἴχνους
Σὺ προσώρισας προγνῶστα πρὸ καταβολῆς τοῦ κόσμου,
καὶ ἀπὸ τοῦ κόσμου τούτου, Κύριε, ἀνεκαλέσω,
ἐδικαίωσάς τ' ἐν κόσμῳ, καὶ μετὰ τὸν κόσμον αὖθις
δόξῃ τούτους μεγαλύνεις.

Οὐ λοιπὸν κοινῶς τοῖς πᾶσι τοῦτο πράττεις ἐν ἀνθρώ[ποις,
ὅπερ οἱ σοφοὶ τῆς γαίης ἅπαντες ἐκτεθηπότες
ἵστανται ἐξεστηκότες καὶ θαυμάζουσι μεγάλως.

Αὐτὸς δ' ἐγώ, ὦ Δέσποτα, τοτ' ἀναλογιζόμενος
καὶ δὲ πτήσσω καὶ τέθηπα τὸ βάθος τῆς σοφίας σου
καὶ γνώσεως κατανοῶν, πρὸς ἣν ἱκέσθ' οὐ δύναμαι,
ἐπεὶ ἀκατανόητα τὰ τῆς δικαιοσύνης σου
κρίματα, Κύριε, εἰσίν, ὅτι ἐκ τοῦ αὐτοῦ πηλοῦ
σκεύη ποιεῖς διάφορα, τὰ μὲν εἰς δόξαν καὶ τιμήν,
τὰ δὲ εἰς ἀτιμίαν αὖ τὴν αἰωνίαν, Κύριε.
Τοιγαροῦν οὓς ἐκ τῶν πολλῶν Σὺ ἐξελέξω σεαυτῷ
διὰ ναόν σου ἅγιον, τούτους καὶ ἐκκαθαίρεις Σὺ
ὕδωρ ῥαντίζων ἐπ' αὐτοὺς τὸ καθαρὸν καὶ ἅγιον,
ὧν Σὺ γινώσκεις, Κύριε, τὸν ἀριθμὸν ποῖός ἐστιν
καὶ τὰ ὀνόματα αὐτά· ὁ μόνος πλήθη ἀριθμῶν
ἀστέρων καὶ ὀνόματα πᾶσιν αὐτοῖς ἀποκαλῶν,
οἵτινες ἆρά γέ εἰσιν ἐγγεγραμμένοι ὑπὸ Σοῦ
καὶ ἐν τῇ βίβλῳ τῆς ζωῆς, οἳ ἀπολέσθ' οὐκ ἔχουσι,
καὶ οἷς περ πάντα συνεργεῖ εἰς ἀγαθὸν ἀείποτε,
αὐτὰ προσέτι τὰ αὐτοῖς πολλάκις πλημμελούμενα·
αὐτὸς ἀντιστηρίζεις γὰρ αὐτοῖς ἀεὶ τὴν χεῖρά σου


καὶ πάντα τὰ ὀστᾶ αὐτῶν μὴ συντριβῆναι ἐξ αὐτῶν
μηδ' ἓν φυλάσσεις, Κύριε.

Ἀλλά γε τῶν ἁμαρτωλῶν θάνατός ἐστι πονηρός·
ἐκείνων δηλονότι, οὓς προτοῦ τὸν Οὐρανὸν καὶ γῆν
ποιῆσαι, Κύριε Θεέ, κατὰ τὴν ἄβυσσον τῶν σῶν
κριμάτων τῶν δικαίων σου προέγνως εἰς αἰώνιον,
ὡς ἐσομένους θάνατον, ὧν δήπου ἡ ἀρίθμησις
τῶν ὀνομάτων πάντων τε τῶν ἔργων τῶν ἀνομιῶν
Κύριε, ἔστι παρὰ σοὶ τῷ ἀριθμοῦντι ἐν ῥιπῇ
ψάμμον θαλάσσης ἀχανοῦς, διαμετροῦντι βάθος τε
ἀβύσσου ἀκατάληπτον, οὕσπερ καὶ ἐγκατέλιπες
ἐν τοῖς μολύσμασι αὐτῶν καὶ τῇ διαφθορᾷ αὐτῶν,
οἷς πάντα δὲ καὶ συνεργεῖ εἰς τὸ κακὸν καὶ ἀλιτρόν,
διόπερ καὶ ἡ προσευχὴ αὐτῶν ἀεὶ μεθίσταται
εἰς ἁμαρτίαν πρὸς Θεόν, οἵτινες ἕως Οὐρανοῦ
κἂν ἀναβῶσιν ὑψηλὰ καὶ τοὺς ἀστέρας φθάσαντες
τῇ κεφαλῇ ἐπαρράξωσιν ἢ ἀνὰ μέσον τε αὐτῶν
τῶν ἄστρων οὗτοι στήσωσι τὴν νοσσιὰν τὴν ἑαυτῶν,
κἀκεῖθεν ἐκριπτούμενοι τὸ τελευταῖον ὡσπερεὶ
κόπρος ἀπολεσθήσονται.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ'

Περὶ τῶν πρώτων μὲν ὄντων δικαίων ὕστερον δὲ ἀσεβῶν καθισταμένων καὶ τἀνάπαλιν.

Μεγάλα σου τὰ κρίματα, Κύριε ὁ Θεὸς ἡμῶν,
ὁ δίκαιος καὶ ἰσχυρός· ὁ κρίνων δικαιώματα



ποιῶν ἀνεξιχνίαστα τῷ βάθει τε ἀνέφικτα,
ἅπερ λογιζομένῳ μοι ἅπαντα τρέμει τὰ ὀστᾶ,
ὅτι οὐχὶ ἐν ἀσφαλεῖ ἄνθρωπος ἔστιν ἐπὶ γῆς.
Τοιγάρτοι σφόδρα τε πολλῆς ἔσθ' ἡμῖν χρεία προσοχῆς,
ἵνα ὁσίως καὶ ἁγνῶς ἐν φόβῳ Σοὶ δουλεύωμεν
πάσας ἡμέρας τῆς ζωῆς καὶ τρόμῳ ἀγαλλιώμεθα,
ὥστ' οὔτε φόβου ἄνευθεν εἶναι δουλείαν τὴν ἡμῶν,
οὔτ' ἄνευ τρόμου τὴν χαράν, καὶ ὥστε μὴ ἐπαίρεσθαι
ἔχειν τὸν ἐζωσμένον τι ὑπέρ τοι τὸν ἀπόζωνον,
ὅπως ἂν μὴ καυχήσηται ἐνώπιόν σου πᾶσα σάρξ,
ἀλλὰ φοβῆται τρέμη τε ἀπὸ προσώπου σου, Θεέ,
ὅτι οὐκ οἶδεν ἄνθρωπος, πότερόν ἐστιν ἄξιος
ἀγάπης ἢ ἀποστροφῆς· τὰ πάντα εἰς τὸ μέλλον γὰρ
αὐτῷ τηρεῖται ἄδηλα.

—

Πολλοὺς γὰρ ἑωράκαμεν, καὶ παρὰ τῶν πατέρων δέ,
Κύριε, ἀκηκόαμεν (ὅπερ οὐ φόβου ἄνευθεν
καὶ τρόμου νῦν ἀναπολῶ μεγάλου καὶ διέξειμι)
τοὺς ἀναβάντας πρῶτον μὲν μέχρις ἁψίδων Οὐρανῶν
καὶ τῶν ἀστέρων μέσων τε τὴν καλιὰν τὴν ἑαυτῶν
ὑπερηφάνως πήξαντας, καταρραχθέντας δ' ἔπειτα
ἕως ἀβύσσου τοῦ βυθοῦ καὶ τὰς ψυχὰς τὰς ἑαυτῶν
κακοῖς ἐν ἀποχρέμψαντας. Ἀστέρας δ' ἀπὸ Οὐρανοῦ
κατενεχθέντας εἴδομεν, ὁρμῇ σφοδρᾷ εἰς ἄβυσσον
τοῦ δράκοντος αὐτοὺς φεῦ! τῷ οὐραίῳ ἐκπατάξαντος·
τοὺς δὲ κειμένους ἐπὶ γῆς κάτω, ἀπὸ προσώπου σου,
τῆς δεξιᾶς σου, Κύριε, ὑπανακουφιζούσης πως,
αὖθις ἐπαναβάντας σοι παρὰ τὴν δόξαν εἴδομεν.

Τοὺς μὲν γὰρ ζῶντας εἴδομεν θανόντας ἐν μιᾷ ῥοπῇ,
ἐξεγερθέντας αὖθις δὲ ἀπὸ θανάτου τοὺς νεκρούς.
Καὶ τοὺς ἐν τοῖς υἱοῖς Θεοῦ τελοῦντας αὖθις εἴδομεν
λίθων κειμένους μεταξὺ πυριφλεγῶν ὡς ἄνθρακας
καὶ ὡς πηλὸν εἰς τὸ μηδὲν ὑπορρυέντας, Κύριε.
Καὶ ἕτερόν τι εἴδομεν τὸ φῶς μὲν ἐπισκοτισθέν,
ἐκ σκότους δ' ἐπιλάμψαν φῶς· ὅτι προάγουσιν, Θεέ,
τοὺς ἐν τῇ βασιλείᾳ σου ἐνοίκους οἱ ἁμαρτωλοί,
αἱ πόρναι, οἱ τελῶναί τε. Οἱ δὲ τῆς βασιλείας σου
διατελέσαντες υἱοὶ εἰς σκότος τὸ ἐξώτερον
ἐκβάλλονται διὰ παντός.

—

Ἵνα τί δέ ταῦτα πάντα, εἰμὴ ὅτι ἐπαρθέντες
ἐπ' ἐκείνου δὴ τοῦ Ὄρους ἦλθον οὗτοι ἀναβάντες·
ἐφ' οὗ περ ἀνῆλθ' ὁ πρῶτος Ἄγγελος, Διάβολος δὲ
ἐκπεσὼν αὐτὸς κατῆλθε; οὓς προώρισας Σύ μέντοι
τούτους καὶ ἐκάλεσας Σὺ καὶ ἡγίασας, Θεέ μου,
καὶ καθήγνισας τελείως, ἵνα ἄξιον τελῶσι
σκήνωμα τῆς ἀπολύτου θείας σου μεγαλωσύνης,
σὺν οἷς, καὶ ἐν οἷς, τρυφή σοί ἐστι καθαρὰ ἁγία.
ἐν οἷς τε αὐτὸς ἐνήδῃ καὶ ἐκείνων ἐπευφραίνεις
τὴν νεότητα ἐν μέσῳ συνοικῶν αὐτοῖς ἀρρήτως,
ἵνα ἅγιος ναός σοι ὦσιν, ὅπερ μέγα ἐστὶ
εἰς τὴν φύσιν τῶν ἀνθρώπων εἰςτὴν σύστασιν τῆς δόξης.



—

ΚΕΦΑΛΑΙΟΝ Λ'

Ὅτι ἡ τοῦ πιστοῦ ψυχὴ Θεοῦ ἐστὶν ἁγιαστήριον.

Ἡ γὰρ ψυχὴ ἡμῶν, Θεέ, οὐκ ἔστιν μὲν ἐκ σεαυτοῦ,
ἀλλὰ προῆλθε, Κύριε, διὰ τοῦ ῥήματος τοῦ σοῦ,
οὐκ ἐξ ὁποιασοῦν τινος ὕλης στοιχείων ὑπαρκτῶν.
ἀλλ' ἐκ τοῦ μηδενὸς αὐτὴν ἔκτισας φύσιν λογικὴν
ἀσώματον καὶ νοεράν, ἀθάνατον ἐντελεχῆ
(ἥν περ καὶ ἐσημείωσας φωτὶ τῷ τοῦ προσώπου σου
καὶ ὅλην καθιέρωσας δυνάμει τοῦ λουτῆρός σου).
οὕτως ὑπάρχει δεκτικὴ τοῦ θείου μεγαλείου σου,
ὡς ὑπὸ σοῦ ἐμπίπλασθαι καὶ ὑπὸ ἄλλου μηδενός·
Σὲ ἐπειδὰν οὖν κέκτηται ἀνάπλεως αὕτη ἐστὶν
τῆς ἑαυτῆς ἐφέσεως ἐπιποθίας πάσης τε,
οὐδὲν δὲ ἕτερον αὐτῇ ἄξιον ὑπολείπεται,
οὗτινος ἂν ἐφίοιτο· ἐφιεμένη γάρ τινα
τῶν ὄντων ἑαυτῆς ἐκτός, εὔδηλον ὡς ἐντὸς αὐτῆς
οὐκ ἔχει ἐνοικοῦντά Σε. Σὲ γὰρ ἐντὸς κατέχουσα
τῶν περαιτέρω οὐδενὸς αὕτη ἐπιθυμήσειεν.

—

Ἐπεὶ τὸ πᾶν γὰρ ἀγαθὸν Σύ μου ὑπάρχεις ὁ Θεός,
τἀκρότατον τῶν ἀγαθῶν, οὐκ ἔχει ἀγαθοῦ τινος
οὗτινος ἐπιγλίχοιτο τὸ πᾶν ἐν κόλποις ἔχουσα·
ὅτι εἰ μὴ αὐτὸ τὸ πᾶν ἐπιποθοίη ἀγαθόν,
λοιπόν ἐστιν ἐπιποθεῖν ἕτερόν τι τῶν ἀγαθῶν,
ὃ δὴ οὐκ ἔστι τἀγαθόν, τὸ μόνον ἄκρον ἀγαθόν·

οὐδ' ἄρα τὸν Θεὸν αὐτόν, ἀλλὰ τὸ κτίσμ' ἐπιποθεῖ,
εἰ δὲ τὸ κτίσμ' ἐπιποθεῖ, πεινῶσα ἔσεται ἀεί·
καὶ τοῦ ἐπιποθήτου γὰρ ἀπολαβοῦσα κτίσματος
ἔτ' ἀπολείπεται κενή, οὐδὲν γὰρ ταύτην ἐμπιπλᾷ
εἰμὴ Σὺ μόνος, Κύριε, τὸ μόνον ἄκρον ἐφετόν·
οὗτινος καθ' ὁμοίωσιν αὕτη δεδημιούργηται.
Αὐτὸς δ' ἐμπίπλης, Κύριε, τοὺς μηδενός, σοῦ παρεκτός
ἐφιεμένους ἄλλου του καὶ ἀποφαίνεις σεαυτοῦ
ἀξίους μακαρίους τε, ἁγίους ἀμιάντους τε,
θεοφιλεῖς φιλητικοὺς καὶ φιλοθέους μύστας σου,
ἐπείπερ πάντα σκύβαλα ἐπὶ τῆς γῆς ἡγήσαντο,
ἵνα τὸ ἄκρον ἀγαθὸν καὶ μόνον ἄκρον ἐφετὸν
τὸν ὄντα Σὲ κερδήσωσιν.

—

Αὕτη ἡ μακαριότης γὰρ ἔσθ' ἡ τελεία ἐν Θεῷ,
ἣν μόνῳ τῷ ἀνθρώπῳ Σὺ ἀπεκληρώσω, Κύριε.
Αὕτη ἡ τιμὴ δι' ἧς αὐτὸν ἐν ἅπασι τοῖς κτίσμασι,
μᾶλλον δ' ὑπὲρ τὰ κτίσματα πάντα ὑπερετίμησας,
ὡς ἂν σου εἴη θαυμαστὸν τὸ ὄνομα τὸ ἅγιον
ἐν πάσῃ, Κύριε, τῇ γῇ.
Ἰδού, Θεέ μου ὕψιστε καὶ παντοκράτωρ Κύριε,
Θεὲ πανυπεράγαθε, εὗρον τὸν τόπον ἔνθ' οἰκεῖς·
ἐν τῇ ψυχῇ γὰρ κατοικεῖς ἣν κατ' εἰκόνα σεαυτοῦ
καὶ καθ' ὁμοίωσιν τὴν σὴν φυσήματι διέπλασας.
Ἐν τῇ ψυχῇ τῇ μόνον Σὲ ἐπιποθούσῃ πάντοτε
καὶ σὲ ζητούσῃ, Κύριε, οὐκ ἐν ἐκείνῃ τῇ ψυχῇ,
ἥτις οὐδὲ ἐπιζητεῖ, οὐδ' ὅλως σοῦ ἐφίεται.



ΚΕΦΑΛΑΙΟΝ ΛΑ'

**Ὅτι οὔτε διὰ τῶν ἐκτὸς αἰσθήσεων,
οὔτε διὰ τῶν ἐντὸς εὑρεθῆναι δύναται ὁ Θεός.**

Ἐγὼ ἀπεπλανήθην δὲ ὡς πρόβατον ἀπολωλὸς
ζητῶν εὑρεῖν σε ἔξωθεν τὸν ἔνδον ἐνυπάρχοντα
καὶ ἄγαν ἐκοπίασα ἐκτὸς ἐμοῦ Σε ἐκζητῶν
Σὺ δ' ἐν ἐμοί, Θεέ, οἰκεῖς, εἰ εἴην ἐφιέμενος
σοῦ μόνον, ὑπεράγαθε.
Σέ, Κύριε, ἀναζητῶν πολλοὺς περιεπάτησα
τοῦ κόσμου τούτου στενωπούς, πλατείας τε ἐβάδισα,
ἀλλὰ οὐχ εὗρόν Σε, Θεέ, ἐπεὶ ἐζήτουν ἔξω Σε,
ὃς ἦσθα ἔσω ἐνοικῶν. Ἁπάσας τὰς αἰσθήσεις μου
ἔστειλα ὡς Ἀγγέλους μου τοῦ ἐκζητῆσαί Σε, Θεέ,
ἀλλ' οὐδαμοῦ ἀνεῦρόν Σε, ὅτι ἐζήτουν οὐ καλῶς·
ὁρῶ γάρ, φάος τὸ ἐμὸν Κύριε, ὃ φωτίσας με,
ὅτι ἐζήτουν οὐκ ὀρθῶς ἀναζητῶν σε δι' αὐτῶν·
ἦσθα γὰρ ἔνδον ἐνοικῶν, αὗται δὲ οὐ συνεῖδόν σε,
ὡς ἔνδον εἰσελήλυθας.
Καὶ γὰρ οἱ ὀφθαλμοί φασιν· εἰμή τοι χρόαν ἔσχηκε
οὐ δὴ εἰσῆλθε δι' ἡμῶν· τὰ ὦτα αὖθις δέ φασιν,
εἰ ἤχημα μὴ ἔδωκεν οὔ τοι διῆλθε δι' ἡμῶν·
ἡ ῥίς, καὶ αὕτη εἴρηκεν, εἰμὴ ὀσμὴν ἀπέφερεν,
οὔ ποτ' εἰσῆλθε δι' ἐμοῦ· ἡ γεῦσις, αὕτη τέ φησιν,
εἰμὴ αὐτὸς κεχύμωται, οὔ ποτ' εἰσῆλθε δι' ἐμοῦ
ἡ δὲ ἀφὴ προστίθησιν, εἰ σωματῶδες μή ἐστι,

μὴ δὴ διαπυνθάνου τι.
Οὐχὶ ἐν σοὶ ταῦτά ἐστι, Θεέ μου Ὑπερούσιε!
οὐ γὰρ τυγχάνω ἐκζητῶν σώματος εἶδος ὁρατόν,
οὐ χρόνου δὲ εὐπρέπειαν, οὐκ αἴγλην ὑλικοῦ φωτὸς
οὐδὲ χροιὰν ἐπιζητῶν, οὐδὲ καὶ μελῳδήματα,
οὐδ' ὅσα γλυκερόν ἐστιν ἠχοῦντα καὶ εὐάρεστον,
οὐ μύρων οὐκ ἀνθέων τε καὶ ἀρωμάτων τὰς πνοάς,
οὐδὲ κηρίου μέλιτος, οὐ μάννα, οὐ τρυφήματα
τὰ γεύσεως πανήδιστα, οὐ τὰ λοιπὰ τῶν ἅψασθαι
καὶ περιπτύξασθ' ἐραστῶν, οὐδ' ὅσα ὑποπίπτει τε
τῶν ἄλλων ταῖς αἰσθήσεσι ταύταις τυγχάνω ἐκζητῶν.
Μὴ γένοιτο πιστεύειν αὐτόν μου ὡς εἶναι τὸν Θεόν,
ὧν καὶ τὰ αἰσθητήρια τῶν βοσκημάτων τοῦ ἀγροῦ
ἁπλῶς ἀντιλαμβάνεται.

—

Καὶ μὴν ὁπόταν τὸν Θεὸν ζητῶ οὐδέν τι ἔλαττον
ζητῶ ἢ φῶς τὸ ἄδυτον τὸ φαῖνον ὑπὲρ ἥλιον,
ὃ ἥκιστα ὁ ὀφθαλμὸς χωρεῖ· φωνήν τινα ζητῶ,
τὴν ὑπὲρ ἅπασαν φωνήν, ἣν οὐ χωρεῖ τὸ οὖς ἡμῶν·
ὀσμήν τινα, ἣν οὐ χωρεῖ μυκτὴρ πρὸς ὄσφρησιν αὐτῆς,
τὴν ὑπὲρ ἅπασαν ὀσμήν· γλυκύτητα ἐπιζητῶ
τὴν ὑπὲρ πᾶσαν πέλουσαν γλυκύτητα, ἣν οὐ χωρεῖ
ἡ γεῦσις ἡ τοῦ στόματος περίπτυξιν ἐπιζητῶ
τὴν ὑπὲρ πᾶσαν αἴσθησιν, ἧς περ ἂν θίγοι ἡ ἀφὴ
τὸ γενικὸν αἰσθητικὸν τοῦ ἐξωτέρου σώματος.
Τὸ φῶς τουτὶ τὸ ἄϋλον φωτίζει ἔνθα τόπος τις
οὐ περιέχει τὰς αὐγάς· ἠχεῖ δὲ αὕτη ἡ φωνὴ
ἔνθα ἀέρος ἄημα οὐκ ἁρπάζει πώποτε

εὐωδιάζει δ' ἡ ὀσμή, ἥν περ ἐγὼ ἐπιζητῶ,
ἔνθα οὐ διασκίδνησιν ῥιπὴ ἀνέμου πνεύματος·
ἡ γεῦσις δ' αὕτη εὕρηται ἡδεῖα ἔνθα οὐκ ἔστι
λιχνείας θέλξις μηδαμῶς· καὶ αὕτη ἡ περίπτυξις
ἐφάπτεται ἀφ' οὗπερ οὐκ ἐκδιασπᾶται πώποτε.
Οὗτός ἐστί μου ὁ Θεὸς καὶ ἕτερός τις πρὸς αὐτὸν
οὔ ποτε λογισθήσεται». Τοῦτο ζητῶ, ὅτε ζητῶ
τὸν Κύριόν μου καὶ Θεόν. Τοῦτ' ἀγαπῶ, ὅτε ἐγὼ
τὸν Κύριόν μου ἀγαπῶ τὸν ποιητήν μου καὶ Θεόν.

—

Ὦ κάλλος τὸ πρεσβύτατον συγχρόνως καὶ νεώτατον,
ὀψὲ πῶς Σὲ ἠγάπησα; καὶ σὺ μὲν ἦσθα ἔνδον μου,
ἐγὼ δὲ ἔξω ἦν ζητῶν· ἔνθα δὲ ἤμην σε ζητῶν
ἐν τοῖς ὡραίοις τουτοισὶ οἷσπερ αὐτὸς ἐποίησας
ἀσχήμων ὁ ἀσχημονῶν ἐνεκυβίστων ἐν αὐτοῖς.
Σὺ συνυπῆρχες μετ' ἐμοῦ, ἐγὼ δὲ οὐκ ἦν μετὰ σοῦ·
ταῦτά με ἀπὸ σοῦ μακρὰν ἀπῆγεν, ἅπερ τὴν ἀρχὴν
οὐδ' εἶναι εἶχεν ἢ ἐν σοί.
Καὶ περιῄειν πάντα οὖν ἀναζητῶν σε, Κύριε,
καὶ διὰ πάντων διιὼν ἤμην λιμπάνων ἐμαυτόν.
Ἠρώτησα τὴν γῆν αὐτήν, εἰ αὕτη μου Θεός ἐστιν·
καὶ αὕτη εἴρηκέ μοι οὔ· καὶ πάντα δὲ τὰ ἐν αὐτῇ
συνωμολόγησαν αὐτῇ. Ἠρώτησα τὴν θ.λασσαν
καὶ τὰς ἀβύσσους δὲ αὐτῆς, τὰ ἕρποντ' ἐν τοῖς ὕδασιν
αὐτὰ δέ μοι ἀπήντησαν, ἡμεῖς Θεός σου οὐκ ἐσμέν,
ζήτει αὐτὸν ὑπὲρ ἡμᾶς. Ἠρώτησα καὶ τὰς πνοάς,
τὰς αὔρας ἐπερώτησα, καὶ εἶπε πρός με ὁ ἀὴρ
σὺν ἅπασι τοῖς ἐν αὐτῷ διαιτωμένοις πετεινοῖς,


σφάλλεται ὁ φιλόσοφος Ἀναξιμένης ὁ πολύς,
Θεός σου οὐκ εἰμι ἐγώ. Ἠρώτησα τὸν Οὐρανόν,
ἠρώτησα τὸν ἥλιον καὶ τὴν σελήνην καὶ αὐτοὺς
τοὺς παμπληθεῖς τοῦ Οὐρανοῦ ἀστέρας ἐπερώτησα,
καὶ εἰπόν μοι, οὐδὲ ἡμεῖς ἐσμεν Θεὸς ὃν ἐκζητεῖς.

—

Καὶ εἶπον ἅπασιν ἐγὼ τοῖς περὶ τὰς τοῦ σώματος
πύλας περιεστῶσί μοι· ἔφητε περὶ τοῦ Θεοῦ,
ὡς οὐκ ἐστε ὑμεῖς Θεός· εἴπατέ μοι τί δήποτε
περὶ ἐκείνου οἴδατε; καὶ ἅπαντα ἀνέκραξαν
μεγάλῃ σφόδρα τῇ φωνῇ· Αὐτὸς ἐποίησεν ἡμᾶς.
Εἶτα προσεπερώτησα τὸν τοῦ παντὸς διάκοσμον·
λέγε μοι, Σύ μου ὁ Θεός; αὐτὸς μοι δ' ἀπεκρίνατο
φωνῇ μεγάλῃ ἠχηρᾷ· ἐγὼ Θεός σου οὐκ εἰμι·
ὃν δ' ἐν ἐμοὶ ἐπιζητεῖς, αὐτός ἐστί μου ποιητής·
ὑπὲρ ἐμὲ τὸν κτίσαντα ζήτει καὶ τὸν διέποντα
ἐμὲ καὶ κτίσιν σύμπασαν.
Διερωτᾶν περὶ Θεοῦ τὰ ποιηθέντα κτίσματα
ἐστὶ τὸ ἐπιθεωρεῖν αὐτὰ εἰς βάθος ἐμβριθῶς·
τούτων ἀπόκρισις δ' ἐστὶ ἡ μαρτυρία ἡ αὐτῶν
περὶ τοῦ πάντων ποιητοῦ. Καὶ γὰρ τὸ σύμπαν κέκραγεν
αὐτὸς ἐποίησεν ἡμᾶς· ὡς ὁ Ἀπόστολός φησιν.
Τὰ γὰρ ἀόρατα αὐτοῦ ἐκ τῆς τοῦ κόσμου κτίσεως
τοῖς κτίσμασι νοούμενα ὁρᾶται, ἡ ἀΐδιος
θειότης τε καὶ δύναμις.

—

Πρὸς ἐμαυτὸν ὑπέστρεψα, εἰσῆλθον ἐμαυτοῦ ἐντὸς
καὶ εἶπον ἐμοί γε αὐτῷ, Σὺ δὲ τίς, εἶ ὦ ἄνθρωπε!



ἀπεκρινάμην δ' ἐμαυτῷ, ἄνθρωπος λογικός εἰμι.
ἀλλὰ θνητὸς ὡς χοϊκός. Ἠρξάμην ἀνακρίνειν δέ,
τί τοῦτ' ἂν εἴη, Κύριε ; πόθεν τὸ ζῷον τουτοΐ ;
πόθεν αὐτός εἰμι ἐγώ, εἴ γε μὴ εἴην παρὰ σοῦ ;
αὐτὸς ἐποίησας ἐμέ, οὐκ ἐμαυτὸν ἐγὼ αὐτός.
Τίς εἶ σὺ ὁ ποιήσας με ; Σὺ εἶ, δι' ὅν περ ζῶ ἐγώ.
Σὺ εἶ, δι' ὃν τὰ πάντα ζῇ. Τίς εἶ Σύ; ὁ Θεός μου εἶ,
ὁ μόνος ὁ ἀληθινός, ὁ παντοκράτωρ Κύριος,
ὁ μόνος ὑπερούσιος, μόνος ὑπεραιώνιος,
μόνος ὑπερκατάληπτος, μόνος ἀκαταμέτρητος
ὁ μόνος ἀιδίως ζῶν, ἐν ᾧ οὐδὲν τὸ θνήσιμον,
ὁ μόνος ὢν ἀθάνατος καὶ τοὺς αἰῶνας Σὺ οἰκῶν,
ὁ ἐν Ἀγγέλων ὀφθαλμοῖς ὑπάρχων μόνος θαυμαστός,
ὁ ἄφραστος δημιουργός, Θεὸς ἀνεξιχνίαστος,
Θεὸς ἀκατονόμαστος. ὁ ζῶν Θεὸς ἀληθινός,
ὁ φοβερὸς καὶ ἰσχυρός ὁ μήποτε εἰδὼς ἀρχήν,
ὁ μὴ γινώσκων τελευτήν, ἀρχὴ ὢν πάντων τέλος τε,
ὁ πρὸ καὶ τῆς πρωτίστης ὢν τοῦ σύμπαντος καταβολῆς
ἁπάντων τῶν αἰώνων τε πρὸ πάσης αἰωνίου τε
ἐνάρξεως τελῶν ὁ ὤν. Σὺ εἶ, Θεέ μου, ὁ Θεὸς
ὁ Κύριος τοῦ σύμπαντος τοῦ δημιουργηθέντος σοι,
καὶ παρὰ σοὶ τὰ αἴτια αὐτὰ τῶν πάντων ἵδρυται
τῶν ἀκινήτως ἐς ἀεὶ ἑστώτων, πᾶσαί τε ἀρχαὶ
τῶν κινουμένων ἐς ἀεὶ ἐχόντων τε μεταβολὴν
ὁμοίως πάντων παρὰ σοὶ ἑστήκασ' ἀμετάβλητοι,
τῶν μετασχόντων λογικοῦ καὶ τῆς ἀλόγου κτίσεως·
οἱ ὑπὸ χρόνον λόγοι δὲ ζῶσιν ἐν σοὶ αἰώνιοι.

—

Εἰπὲ καθικετεύοντι τῷ δούλῳ σου φιλάνθρωπε,
εἰπέ μοι, πολυέλεε, τῷ δούλῳ σου τῷ ταπεινῷ,
εἰπέ, σοῦ δέομαι, Θεέ, τῶν οἰκτιρμῶν σου ἕνεκεν,
πόθεν τὸ ζῷον τουτοῒ εἰ μὴ προῆλθε παρὰ σοῦ ;
Εἴποτε ἆρά τις αὐτὸν ἐστ' ἐπιτεχνευσάμενος
καὶ ἑαυτὸν ποιήσειεν; εἴ τις ἂν ποτὲ ἄλλοθεν
ἢ παρὰ σοῦ κομίσαιτο αὐτὸ τὸ εἶναι καὶ τὸ ζῆν;
οὐχὶ σὺ εἶ τὸ μόνον ὂν τὸ θεῖον τὸ ὑπέρτατον
ἐξ οὗ τὸ σύμπαν γέγονεν; εἴ τι γὰρ ἔστι, Κύριε,
παρὰ σοῦ μόνον γέγονεν· οὐδὲν γὰρ ἄνευ σοῦ ἐστιν.
Οὐχὶ Σὺ εἶ πηγὴ ζωῆς ἐξ ἧς ἐκβλύζει ἡ ζωή;
εἴ τι γὰρ ζῇ, ζῇ διὰ σοῦ, καὶ σοῦ χωρὶς οὐδέν τι ζῇ.
Σὺ πάντα οὖν πεποίηκας καὶ ἐκζητήσω, τίς κἀμὲ
ἑκὼν ἐξ ἀγαθότητος πολλῆς εἰς ὃν ἐποίησεν ;
Σύ με, Θεέ, ἐποίησας, οὗ ἄνευ οὐκ ἐγένετο
οὐδὲν τῶν ὄντων, Κύριε. Σὺ ὁ ἐμὸς εἶ ποιητής,
ἐγὼ δὲ ποίημα τὸ σόν. Εὐχαριστῶ σοι, Κύριε,
δι' οὗ κἀγὼ ὁ τάλας ζῶ, δι' οὗ καὶ ἅπαν κτίσμα ζῇ.
Ὅτι κἀμὲ ἐποίησας εὐχαριστῶ σοι πλαστουργέ !
αἱ χεῖρές σου γάρ, ὁ Θεὸς αἱ θεῖαί με ἐποίησαν,
αἱ χεῖρές σού με ἔπλασαν. Εὐχαριστῶ σοι τῷ φωτὶ
τῷ με διαφωτίσαντι, ὅτι φωτί σου φωτισθεὶς
εὗρον σέ τε κἀμὲ αὐτόν· ὅπου δὲ εὗρον ἐμαυτὸν
ἐκεῖ καὶ Σὲ ἐπέγνωκα. ἐκεῖ με σὺ ἐφώτισας.
Εὐχαριστῶ σοὶ τῷ φωτί, ὅτι μὲ κατεφώτισας.

—


Τί τοῦτο ὅπερ εἴρηκα, ὅτι Θεὲ ἐπέγνων Σε ;
οὐχὶ Σὺ εἶ μου ὁ Θεός, ὁ ὢν ἀπερινόητος ;



ὁ ὢν ἀκαταμέτρητος; ὁ Βασιλεὺς τῶν Οὐρανῶν
βασιλευόντων πάντων τε, ὁ Κύριος τοῦ σύμπαντος,
κυριευόντων πάντων τε· ὁ μόνος ὢν ἀθάνατος
καὶ φῶς οἰκῶν ἀπρόσιτον, ὅπερ οὐδεὶς ἑώρακε
εἰς τὸν αἰῶνα ἅπαντα, οὐδὲ ὁρᾶν τις δύναται;
Οὐχὶ Σὺ εἶ ὁ ὕψιστος Θεὸς ὁ πέλων κρύφιος,
ὁ μένων ἀνεξείκαστος ἐν τῇ μεγαλωσύνῃ σου,
ὁ μόνος ἐπιγνώστης ὢν σοῦ ἑαυτοῦ, παντιέφορε,
Θεάμων τε θαυμάσιος; τίς οὖν ἐπέγνω τί ποτε,
ὃ οὐδαμῇ οὐδέποτε κατ᾽ ὄψιν ἐθεάσατο;
εἶπας καὶ γὰρ ἐν στόματι, Θεέ, τῆς ἀληθείας σου,
ὅτι οὐκ ὄψεται ἐμὲ ὁ ἄνθρωπος καὶ ζήσεται.
᾿Αλλὰ καὶ ὁ Βοανεργές, φίλος ὁ ἐπιστήθιος,
ὁ Κῆρυξ ὁ θαυμάσιος τοῦ Οὐρανίου λόγου σου
τῇ ἀληθείᾳ εἴρηκε, «Θεὸν οὐδεὶς ἑώρακε».
Τίς ἄρα ἔγνω ὅπερ οὐκ εἶδέ ποτε τοῖς ὀφθαλμοῖς;
ἀλλὰ καὶ ἡ ἀλήθεια ἡ Σὴ Χριστέ μου εἴρηκεν,
οὐδεὶς ἐπέγνω τὸν Υἱὸν εἰμὴ ὁ ἄχρονος Πατήρ,
οὐδὲ ἐπιγινώσκει τις πατέρα τὸν προάναρχον
εἰμὴ ὁ ἄχρονος υἱός. Μόνη σαυτὴν γινώσκουσα
εἶ ἡ ἀΐδιος Τριὰς ἡ πάντα νοῦν καὶ ἔννοιαν
ἀπείρως ὑπερέχουσα.

Τί τοίνυν ἔστιν ὃ ἐγὼ ὁ ἄνθρωπος προείρηκα,
ὁ ματαιότητι πολλῇ ὁ τάλας ἐξομοιωθείς,
ὅτι περ δῆθεν ἔγνων σε; Τίς γὰρ σὲ ἔγνω, Κύριε,
εἰμὴ Σὺ μόνος σεαυτόν. Σύ μόνος πέλεις γὰρ Θεός,
Θεὸς ὢν παντοδύναμος, Θεὸς ὢν ὑπερύμνητος

καὶ ὑπερένδοξος Θεός, ἀεὶ ὑπερυψούμενος
καὶ ὑπερύψιστος Θεός· Θεὸς ὁ ὑπερούσιος
λογίοις θειοτάτοις δὲ καὶ ἐν ἁγιωτάτοις τε
ἐπονομάζῃ ἀληθῶς, ὅτι ὑπὲρ οὐσίαν ὢν
ἢ νοερὰν ἢ αἰσθητὴν καὶ ὑπὲρ ἅπαν ὄνομ᾽ ὃ
ἐν οὐρανῷ καὶ ἐν τῇ γῇ ἐστιν ὀνομαζόμενον
οὐ μόνον ἐν τῷ νῦν καιρῷ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι
αἰῶνι τῷ μὴ λήγοντι, ὡς πέλων ὑπερούσιος
ὑπὲρ ἀκατανόητος Θεὸς ἐπιγινώσκεσαι,
ὡς ἐν ὑπερουσίῳ καὶ κρυφαίᾳ τῇ Θεότητι
καὶ ὑπὲρ λόγον ἅπαντα καὶ νοῦν, ὑπὲρ οὐσίαν τε,
ὡς ἐνοικῶν ἐν σεαυτῷ ἀπρόσιτος καὶ ἀναφὴς
ὅλως ἀνεξιχνίαστος, ἔνθα τε φῶς ἀπρόσιτον
σέλας τ᾽ ἀνεξερεύνητον
καὶ ὅλως ἀκατάληπτον καὶ πάμπαν ἀνερμήνευτον,
οὗ ἐφικέσθαι φῶς οὐδὲν οὐκ ἔστι δυνατόν ποτε·
ὅτι ἀθέατόν ἐστι τὸ φῶς καὶ ἀθεώρητον
καὶ ὑπὲρ λόγον ἅπαντα καὶ πᾶσαν διανόησιν,
καὶ ὑπεραμετάβλητον, καὶ ὑπερακοινώνητον
εἶναι πιστεύεται τὸ φῶς, ὅπερ οὐδεὶς οὐδέποτε
ἀνθρώπων οὐδ᾽ ᾿Αγγέλων τε τοῖς ὀφθαλμοῖς τεθέαται
ἀλλ᾽ οὐδὲ δύναταί ποτε θεάσασθαι τοῖς ὀφθαλμοῖς.
Οὗτός ἐστιν ὁ Οὐρανὸς ὁ σὸς ὁ ὑπὲρ Οὐρανόν,
ὁ Οὐρανὸς ὁ κρύπτων ἐν αὐτῷ τὸ ὑπερκρύφιον,
αὐτὸ τὸ ὑπεράγνωστον, αὐτὸ τὸ ὑπεράρρητον
καὶ ὑπερουσιῶδες φῶς, περὶ οὗ δὲ καὶ λέγεται,
»ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ Κυρίῳ τῷ Θεῷ ἡμῶν».



Ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ ἐστιν πρὸς ὃν ὁ Οὐρανὸς
γῆ ὅλος ἄντικρύς ἐστιν· ἐξῆρται γὰρ ὑπὲρ αὐτὸν
ἐκεῖνος λίαν θαυμαστῶς, ὑπέρ τε τὸν ἐμπύριον·
διὸ προσείρηται αὐτὸς ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ
Κυρίῳ τῶν δυνάμεων, ἅτε μὴ γινωσκόμενος
ἑτέρῳ ὅλως μηδενί, πλὴν ἢ Κυρίῳ τῷ Θεῷ·
πρὸς γὰρ ἐκεῖνον οὐδὲ εἷς οὐδέ ποτ' ἀναβέβηκεν,
εἰμὴ ὁ ἐκ τοῦ Οὐρανοῦ πρὸς τοὺς ἀνθρώπους κατα-
Οὐδεὶς γὰρ ἔγνω τὸν Θεὸν ἢ μόνος ὁ Υἱὸς αὐτοῦ [βάς.
καὶ Πνεῦμα τὸ πανάγιον· οὐδείς τε ἔγνω τὸν Υἱὸν
εἰμὴ ὁ ἄχρονος πατὴρ καὶ Πνεῦμα τὸ πανάγιον,
καθάπερ καὶ τὸ ἅγιον Πνεῦμα ἐπέγνω οὐδὲ εἷς,
εἰμὴ ὃς ἐκπεπόρευκε Θεὸς ὁ ἄχρονος πατὴρ
καὶ ὁ συνάναρχος υἱός, ἐν ᾧ καὶ ἀναπέπαυται,
πνεῦμα γάρ ἐστι τοῦ πατρὸς καὶ πνεῦμα τοῦ Υἱοῦ ἐστιν.
Σὺ πέλεις μόνῃ σεαυτῇ ἀρίγνωτος θεία Τριάς.
ὦ ὑπερθαύμαστε Τριάς, ὑπερανεκδιήγητε,
ὑπερανεξιχνίαστε, ὅλως ὑπεραπρόσιτε
καὶ ὑπερακατάληπτε, ὑπερακατανόητε
ἁγία ὑπερούσιε. Τριὰς ἡ ὑπερέχουσα
ὑπερουσίως ἅπασαν τὴν κατὰ νοῦν κατάληψιν
καὶ πάντα λόγον πάντα νοῦν καὶ ἅπασαν διάνοιαν,
πᾶσαν κοινῶς οὐσίωσιν, πρὸς δὲ αὐτῶν τῶν νοερῶν
ὑπερκοσμίων φύσεων. Τριάς, ἣν ἐστ' ἀδύνατον
κατανοῆσαι πώποτε, οὐδὲ καὶ φράσαι δυνατόν,
οὐδ' ἐπιγνῶναι δυνατόν, οὐδὲ αὐτοῖς τοῖς ὄμμασι
τῶν νοερῶν δυνάμεων τῶν Οὐρανίων στρατιῶν.

Πόθεν σε ἔγνων οὖν ἐγώ, Κύριε ὑπερύψιστε,
τὸν ὑπὲρ ἅπασαν τὴν γῆν καὶ ὑπὲρ πάντα Οὐρανόν ;
ὃν οὐδ' αὐτὰ τὰ Χερουβὶμ ὁλοτελῶς γινώσκουσιν,
ἀλλὰ καλύπτει τὰ αὐτῶν πρόσωπα σοῦ ἐνώπιον
πτέρυξι τῶν θεωριῶν, τοῦ καθημένου ἐφ' ὑψηλοῦ
καὶ ἐπηρμένου θαυμαστῶς θρόνου σῆς δόξης, Κύριε,
βοῶντα κεκραγότα τε καὶ λέγοντα τὸ «ἅγιος,
ἅγιος, ἅγιος Θεὸς ὁ Κύριος τῶν οὐρανῶν
πασῶν τε τῶν δυνάμεων, πλήρης τε ἅπασα ἡ γῆ
ἐστι Θεὲ τῆς δόξης σου». Καὶ ἐξεπλάγη τότε δὴ
ὁ ὑποφήτης θεωρῶν καὶ ἔκθαμβος ἀνέκραξεν.
«Ὢ τάλας ἄνθρωπος ἐγὼ ! καθ' ὅτι κατανένυγμαι,
ὅτι ἐγὼ ὢν ἄνθρωπος καὶ χείλη σχὼν ἀκάθαρτα
ἐν μέσῳ δὴ λαοῦ ἐγὼ οἰκῶ τὰ χείλη ἔχοντος
ἀκάθαρτα ὡς τὰ ἐμά !» καὶ ἐξεπλάγη ἐν ἐμοί,
Κύριε, ἡ καρδία μου, καὶ εἶπα φεῦ! Οὐαὶ ἐμοί !
ὅτι ἐγὼ δὴ ἄνθρωπος χείλη ἔχων ἀκάθαρτα,
καὶ οὐκ ἐσίγησα ἐγώ, ἀλλ' εἶπα ὅτι ἔγνων σε·
πλὴν ἀλλ' οὐαὶ τοῖς περὶ σοῦ σιγῶσιν, ὕψιστε Θεέ,
ὡς ἄλαλοι καθίστανται. Καὶ οὐδ' ἐγὼ σιγήσομαι
ὅτι Σύ με ἐποίησας καὶ διεφώτισάς με Σὺ
καὶ εὗρές με, καὶ οὕτωσὶ κἀγώ σε εὗρον, Κύριε,
καὶ ἔγνωκά σε, Κύριε, ὅτι Σὺ μὲ ἐφώτισας.

—

Ἀλλὰ πῶς σ' ἔγνων, Κύριε; ἐν Σοὶ ἐπέγνων Σε ἐγώ,
οὐχ ὡς Σὺ εἶ ἐν σεαυτῷ, ἀλλ' ὡς ὑπάρχεις ἐν ἐμοί,
οὕτως σε ἔγνων, Κύριε, ἀλλ' οὐδὲ τοῦτο ἄνευ σοῦ,
ἀλλὰ καὶ τοῦτο διὰ σοῦ· διότι Σύ μου εἶ τὸ φῶς,

φῶς τὸ διαφωτίσαν με. Ὥσπερ γὰρ εἶ ἐν σοὶ αὐτῷ
τοῦτο σοὶ μόνον ἔγνωσται, ὡς δὲ Σὺ πάρει ἐν ἐμοὶ
κατὰ τὴν χάριν τὴν ἐν σοί, κἀμοὶ οὐκ ἀγνοούμενος
τυγχάνεις, ὁ Θεὸς ἡμῶν. Ἀλλὰ δὴ λέγε μοι Θεὲ
οἰκτίρμον, τῷ οἰκέτῃ σου, τὸ τί ὑπάρχεις ἐν ἐμοί;
Εἰπὲ δὴ τῇ ἐμῇ ψυχῇ, ἐγὼ ἡ σωτηρία σου.
Μὴ ἀποκρύψῃς, Κύριε, τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ
μήπως ἐκθάνοιμι ἐγώ. Ἔα λαλῆσαί με πρὸς Σέ,
πρός γε τὸ ἔλεος τὸ σόν, τὸν γῆν με ὄντα καὶ σποδόν.
Ἔα λαλῆσαί με πρός Σέ, πρὸς δὴ τὸ ἔλεος τὸ σόν,
ὅτι τὸ ἔλεος τὸ σὸν μέγα ὑπάρχει ἐπ' ἐμέ·
λαλήσω γὰρ πρὸς τὸν Θεὸν ὁ χοῦς ὑπάρχων καὶ σπο-
Εἰπέ μοι ἱκετεύοντι, εἰπὲ ἐλέους μοι πηγὴ [δός.
χρήζοντι τοῦ ἐλέους σου· εἰπὲ κατὰ τὸ πλῆθος δὴ
τῶν οἰκτιρμῶν σου, Κύριε, τί δὴ ὑπάρχεις ἐν ἐμοί;
Καὶ μοὶ ἐβρόντησας, Θεέ, ἤχῳ μεγάλῳ ἄνωθεν
εἰς τῆς καρδίας μου τὸ οὖς εἰς τὸ ἐνδότερον αὐτῆς
καὶ ἤνοιξας τὴν κώφωσιν, ἠκούτισάς με τῆς φωνῆς,
ἐφώτισας τὴν τύφλωσιν καὶ εἶδόν σου τὸ θεῖον φῶς
καὶ ἔγνων ὅτι μου Θεὸς Σὺ εἶ, ὁ διαπλάσας με,
διὰ δὴ τοῦτο εἴρηκα ὅτι ἐπέγνων Σε Θεέ.

Ἔγνων καὶ γάρ Σε, ὅτι Σὺ εἶ ὁ Θεός μου· ἔγνων Σε
τὸν μόνον τὸν ἀληθινὸν τὸν Ἐπουράνιον Θεόν,
καὶ ὃν ἀπέστειλας ἡμῖν Σωτῆρα Ἰησοῦν Χριστόν.
Ἦν χρόνος δὲ ὅτε οὐκ ἦν ἐγὼ γινώσκειν Σε Θεέ.
Οὐαὶ ἐκείνῳ τῷ καιρῷ, ὅτε σὲ οὐκ ἐγίνωσκον!
Οὐαί μου τῇ τυφλότητι ἐκείνῃ, ὅτε, Κύριε,

ὁ τάλας οὐχ ἑώρων Σε. Οὐαί μου τῇ κωφότητι,
ὁπότε σοῦ οὐκ ἤκουον! τυφλὸς ἐτέλουν καὶ κωφὸς
ἐν τοῖς ὡραίοις οἷς αὐτὸς ὡς ἀγαθὸς ἐμόρφωσας,
ἐγὼ δ' ἀσχήμων ἄμορφος ἀεὶ ἐνέπιπτον αὐτοῖς.
Σὺ ἦσθα μετ' ἐμοῦ, αὐτὸς δ' ἐγὼ οὐκ ἤμην μετὰ Σοῦ.
ἐκεῖνα δὲ κατεῖχόν με μακράν, Θεέ μου, ἀπὸ Σοῦ
ἅπερ οὐδὲ ὑπῆρχε κἄν, εἰμὴ ἦν ὄντα παρὰ σοί.
Ἐφώτισάς με, Κύριε, τὸ φῶς τοῦ κόσμου σύμπαντος,
μ' ἐφώτισας καὶ εἶδόν Σε, ἰδὼν δέ σε ἠγάπησα·
οὐδεὶς γάρ Σέ ποτ' ἀγαπᾷ, εἰμὴ ὅς τις ἂν ἴδοι σε·
οὐδεὶς δ' ἂν ὄψαιτο, εἰμὴ ὅς τις ἂν ἀγαπήσειεν·
ὀψὲ ναί σε ἠγάπησα τὸ κάλλος τὸ ἀΐδιον
τὸ ὂν ἀρχαῖον νέον τε. Ὀψὲ ναί σε ἠγάπησα
οὐαὶ τοῦ χρόνου, ὅτε Σε Θεέ μου οὐκ ἠγάπων Σε.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'

Ὁμολογία τῆς ἀληθινῆς πίστεως.

Εὐχαριστῶ σοι ὁ Θεός, τὸ φάος τῆς ἐμῆς ψυχῆς,
εὐχαριστῶ σοι, τῷ Θεῷ τῷ με διαφωτίσαντι,
ὅπως ἂν ἐπιγνοίην σε· ἀλλ' ὅντιν' ἄρα ἔγνων Σε;
ἔγνων τὸν μόνον ὄντα σε Θεὸν τὸν κτίστην τὸν ἐμὸν
τὸν ζῶντα τὸν ἀληθινόν, ἔγνων σε τὸν τοῦ Οὐρανοῦ
τῶν ὁρατῶν ἁπάντων τε καὶ ἀοράτων ποιητήν,


Θεὸν τὸν Παντοκράτορα, Θεόν τε τὸν ἀληθινόν,
ἀθάνατον ἀθέατον, τὸν ὅλως ἀπερίγραπτον,
Θεὸν ἀπεριόριστον, αἰώνιον, ἀπρόσιτον,
Θεὸν ἀπερινόητον, Θεὸν ἀνεξιχνίαστον
ἄτρεπτον ἀναλλοίωτον, ἀπέραντον καὶ ἄπειρον·
ἀρχὴν τοῦ κόσμου σύμπαντος τοῦ ὁρωμένου ὀφθαλ-[μοῖς
τοῦ μὴ διορωμένου τε· δι' οὗ τὰ πάντ' ἐγένετο·
δι' οὗ καὶ τὰ στοιχεῖά τε τῶν γεγονότων σύμπαντα
ὑφέστηκε ἐξ ὑπαρχῆς· οὗ ἡ μεγαλωσύνη τε,
ὡς οὔ ποτε κατήρξατο, οὕτως οὐδ' ἀπολήξει τε
εἰς τὸν αἰῶνα ἅπαντα.
Ἔγνων Σε ἕνα ἀληθῆ μόνον Θεὸν αἰώνιον
τὸν ποιητὴν τοῦ Οὐρανοῦ Πατέρα τὸν ἀγέννητον
καὶ τὸν Υἱὸν τὸν γεννητόν, καὶ Πνεῦμα τὸ πανάγιον·
τρία μὲν ὄντα πρόσωπα οὐσίαν μίαν δ' ἔχοντα·
ἁπλῆν τε ἀδιαίρετον φύσιν μιᾶς Θεότητος.
Τὸν μὲν Πατέρ' ἐξ οὐδενός, τὸν δὲ Υἱὸν ἐκ τοῦ Πατρός,
ὡσαύτως καὶ τὸ Πνεῦμα δὲ ἐκ τοῦ Πατρὸς ἐπέγνωμεν [1]
ἀρχῆς ὁποιασδήποτε καὶ τέλους ὄντ' ἐπέκεινα.
Ἕνα τε καὶ τριαδικὸν μόνον ἀληθινὸν Θεὸν
Θεόν τε Παντοκράτορα. Μίαν τῶν ὅλων τε ἀρχὴν
ποιητικὴν συνεκτικήν, ἕνα δὲ μόνον ποιητὴν
ἁπάντων τε τῶν ὁρατῶν κτισμάτων ἀοράτων τε.
Ὅστις ἐδημιούργησας βουλήσει καὶ δυνάμει σου

[1] Ἐνταῦθα τὸ Λατινικὸν κείμενον ἔχει: ab utroque (ἐξ ἀμφοῖν) ὅπερ ἐλλείπει ἀπὸ τῶν κριτικῶν ἐκδόσεων.

ἐκ τοῦ μὴ ὄντος ἐν ἀρχῇ τὴν φύσιν τε τὴν ἄυλον
καὶ σύμπασαν τὴν ὑλικήν, τὴν φύσιν τὴν Ἀγγελικὴν
καὶ φύσιν τὴν ἐγκόσμιον, εἶτα τὴν ἀνθρωπίνην δέ,
οἷον κοινὴν διέπλασας, ὡς ἅμα μὲν ἐκ σώματος
συνισταμένην ἅμα τε ἐκ Πνεύματος ζωοποιοῦ.

Ἐπέγνων καὶ ὁμολογῶ Σὲ τὸν ἀγέννητον Θεὸν
Πατέρα τὸν γεννήτορα, καὶ τὸν Υἱὸν Σὲ τοῦ Θεοῦ
τὸν γεννηθέντα ἐκ Πατρός, καὶ Σὲ τὸ Πνεῦμα τοῦ Θεοῦ
τὸ Πνεῦμα τὸ Παράκλητον, τὸν οὔτε ὄντ' ἀγέννητον
ἀλλὰ καὶ οὔτε γεννητόν, ἀλλὰ ἀνερμηνεύτως πως
ἐκπορευτὸν ἐκ τοῦ Πατρός· [1] Τριάδα ἀδιαίρετον
προσώποις οὖσαν ἐν τρισὶ ἁγίαν καὶ πανσθενουργὸν
ἴσοις ὁμοουσίοις τε ἅμα συναϊδίοις τε.
Τριάδα ἐν Μονάδι, καὶ Μονάδα Τρισυπόστατον·
Καρδίᾳ εἰς δικαίωσιν οὕτω πιστεύων εἰς Θεόν,
στόματι δὲ ὁμολογῶν εἰς σωτηρίαν μου πιστῶς.
Σὲ ἔγνων τὸν Θεὸν ἡμῶν τὸν Κύριον τὸν Ἰησοῦν
τὸν Θεῖον Ἰησοῦν Χριστὸν τὸν τοῦ Θεοῦ Μονογενῆ
Υἱόν, τὸν καὶ δημιουργὸν σωτῆρά τε καὶ λυτρωτὴν
ἐμοῦ αὐτοῦ καὶ γένους τε τοῦ ἀνθρωπίνου σύμπαντος,
ὃν εὐσεβῶς ὁμολογῶ πρὸ τῶν αἰώνων ἐκ Πατρὸς
Θεὸν κυροῦντα ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς ὑπάρχοντα,
Θεόν τε ὄντ' ἀληθινὸν ἀπὸ Θεοῦ ἀληθινοῦ,

[1] Ἐὰν τὸ: Ab utroque ὑπῆρχεν εἰς τὴν ἀνωτέρω ὑποδειχθεῖσαν θέσιν ἔπρεπε νὰ ὑπάρχῃ καὶ ἐνταῦθα, ἀλλὰ δὲν ὑπάρχει.



οὐ ποιηθέντα ἀλλ' ἀχρόνως γεννηθέντα ἐκ Πατρός,
κυροῦντα ὁμοούσιον καὶ ὄντα συναΐδιον
Πατρὶ καὶ θείῳ Πνεύματι, δι' οὗ τὰ πάντα ἐν ἀρχῇ
λόγῳ αὐτοῦ ἐγένετο· πιστεύων καὶ ὁμολογῶν
βεβαίως τε καὶ ἀληθῶς Σὲ τὸν Μονογενῆ Υἱὸν
τὸν σαρκωθέντα Ἰησοῦν Χριστὸν τὸν λυτρωτὴν ἡμῶν
κοινῶς ἐξ ὅλης τῆς Μιᾶς Τριάδος τῆς ὑπερφυοῦς
ἁγίας τε καὶ Τριφαοῦς, καὶ ἐκ Μαρίας τῆς ἁγνῆς
ἀειπαρθένου κόρης τε, καὶ συνεργείᾳ Πνεύματος
ἁγίου συλληφθέντα τε καὶ κυηθέντα ἐν γαστρί,
γενέσθαι ἄνθρωπον αὐτὸν ἀληθινὸν καὶ τέλειον
συστάντ' ἐκ λογικῆς ψυχῆς ἐξ ἀνθρωπίνης τε σαρκός.
Ὃς ὢν υἱὸς Μονογενὴς Θεοῦ Πατρὸς ἀπαύγασμα
ὡσαύτως τῇ θεότητι ἀθάνατος καὶ ἀπαθὴς
ἀγάπης δι' ὑπερβολήν, δι' ἧς ἡμᾶς ἠγάπησας,
ἑκὼν ἐγένου παθητὸς θνητός τε κατὰ ἄνθρωπον.
Ὑπὲρ τῆς σωτηρίας δὲ ἀνθρώπων γένους, Κύριε,
Υἱὲ Θεοῦ Μονογενές, ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ
ἑκὼν παθεῖν ἠξίωσας, θανεῖν δὲ εἵλου ἀγαθέ,
ἵνα θανάτου καὶ φθορᾶς τῆς αἰωνίου τὸν Ἀδὰμ
λυτρώσῃς ὡς φιλάνθρωπος· καὶ εἰς τὸν Ἅδην κα-
[τελθεῖν
πρὸς τοὺς ἐν σκότει καὶ σκιᾷ καθεύδοντας προπάτορας
ὁ τοῦ φωτὸς ὢν χορηγός· ὅθεν ἐν δόξῃ νικητὴς
τριήμερος ἐκ τῶν νεκρῶν ἀνέστης, ἐπανειληφὼς
τὸ σῶμά σου τὸ ἱερὸν ἐν τάφῳ τὸ κατατεθὲν
ὑπὲρ ἡμῶν τῶν ἀλυτρῶν καὶ τῶν ἁμαρτιῶν ἡμῶν,
ζωοποιήσας τε αὐτὸ τρίτῃ ἡμέρᾳ Ἰησοῦ,

ὡς εἴρηται ἐν ταῖς Γραφαῖς, καὶ καθιδρύσας δεξιᾷ
τοῦ Οὐρανίου σου Πατρός. Τὴν γὰρ ἐν Ἅδου μένουσαν
αἰχμαλωσίαν τὴν ἡμῶν Σὺ ἀφαρπάσας δυνατέ,
ἣν ᾐχμαλώτισέ ποτε ὁ παλαιὸς ὁ πτερνιστής,
ὡς ὢν Θεὸς ἀληθινὸς Υἱὸς Θεοῦ ἀληθινοῦ,
ἀνῆλθες ὑπὲρ οὐρανοὺς σὺν τῇ βροτείῳ φύσει σου
ἤτοι συνάμα τῇ ψυχῇ καὶ τῇ βροτείῳ σου σαρκὶ
τῇ προσληφθείσῃ ὑπὸ σοῦ ἐκ τῆς Παρθένου Μαριάμ,
ὑπὲρ Ἀγγέλων τάξεις τε ὑπερεπαναβεβηκὼς
ἐκάθησας ἐν δεξιᾷ τοῦ Οὐρανίου σου Πατρός,
ἔνθα πηγὴ ἡ τῆς ζωῆς καὶ φάος τὸ ἀπρόσιτον
καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ νοῦν πάνθ' ὑπερέχουσα.

—

Ἐκεῖ Θεόν σ' ἀληθινὸν καὶ ἄνθρωπον ἀληθινὸν
Δεσπότην Ἰησοῦν Χριστὸν λατρεύοντες παναληθῶς
καὶ ἀνομολογοῦντές σε πιστεύομεν εἰλικρινῶς.
Καὶ προσδοκῶμεν σταθερῶς ὅτι Σὺ ἥξεις ὡς Κριτὴς
ἐν τῇ πληρώσει τῶν καιρῶν καὶ τῶν αἰώνων τελευτῇ
κρῖναι τὸν κόσμον ἅπαντα νεκροὺς καὶ ζῶντας ἅ-
[παντας
καὶ ἀποδοῦναι ἅπασι τοῖς ἀγαθοῖς καὶ πονηροῖς
κατὰ τὰ ἔργα τὰ αὐτῶν, ἅπερ ἐν βίῳ ἔπραξαν,
ἢ γέρας εἴ τε κόλασιν, ὡς ἕκαστος ἂν γένοιτο
ἄξιος ὧν διέπραξεν, ἤτοι τῆς ἀναπαύσεως,
εἴ τε τῆς κατακρίσεως. Ἐν γὰρ ἐκείνῃ τῇ φρικτῇ
ἡμέρᾳ τῆς δικάσεως οἱ πάντες ἀναστήσονται
ὅσοι μετέσχον ἐν σαρκὶ ἐνταῦθα λογικῆς ψυχῆς,
ἵνα ὁ ὅλος ἄνθρωπος ἀφορισθείη ἐς ἀεὶ

εἴτε εἰς δόξαν ἄφθιτον εἴτε περ εἰς τὴν γέενναν,
ἀξίως ὧν διέπραξαν. Αὐτὸς ἡμῶν γάρ, Κύριε,
ὑπάρχεις πάντων ἡ ζωή, αὐτὸς καὶ ἡ ἀνάστασις,
ὃν καὶ σωτῆρα Κύριον Χριστὸν ἀπεκδεχόμεθα
τὸν μετασχηματίσαντα τῆς ταπεινώσεως ἡμῶν
τὸ σχῆμ' ὥστε τῷ σώματι συμμόρφους τῆς ἀΰλου
δόξης γενέσθαι καὶ ἡμᾶς.


—

Ἐπέγνων ἕνα δὲ Θεὸν ὄντα Θεὸν ἀληθινὸν
τὸ Πνεῦμα τὸ Παναγιον τὸ ἀιδίως ἐκ Πατρὸς
μόνου ἐκπορευόμενον σὺν τῷ Πατρὶ δὲ καὶ Υἱῷ
συντεταγμένον,σύνθρονον,ὡςΠνεῦμα τοῦ ΘεοῦΠατρὸς
καὶ Πνεῦμα τοῦ Υἱοῦ Αὐτοῦ ὑπάρχον ὁμοούσιον
αὐτοῖς καὶ συναιώνιον. Τὸ Πνεῦμα τὸ παράκλητον
ἡμῶν καὶ τὸ συνήγορον. Τὸ Πνεῦμα τὸ πανάγιον
τὸ κατελθὸν ἐξ Οὐρανοῦ ἐν εἴδει τῆς περιστερᾶς
ἐπὶ τὸν Ἰησοῦν Χριστὸν Θεὸν ἡμῶν καὶ Κύριον,
ἐπὶ τοῖς Ἀποστόλοις τε ἐπιφοιτῆσον ἐν πνοῇ
βιαίᾳ καὶ ἐν συσεισμῷ ὡσεὶ ἐν γλώσσαις τοῦ πυρός·
Τὸ τοὺς ἁγίους τοῦ Θεοῦ καὶ ἅπαντας τοὺς ἐκλεκτοὺς
ἐξ ὑπαρχῆς τῇ δωρεᾷ διδάξαν τῆς σῆς χάριτος,
τὸ διανοῖξαν τε αὐτὰ τῶν προφητῶν τὰ στόματα
ἐκδιηγεῖσθαι ἅπασι τῆς βασιλείας τοῦ Θεοῦ
τὰ ἄπειρα θαυμάσια.
Τὸ παρὰ τῶν ἁγίων δὲ ἁπάντων προσκυνούμενον
ἀεὶ καὶ δοξαζόμενον σὺν τῷ Πατρὶ καὶ τῷ Υἱῷ.
Ἐν οἷς κἀγὼ ὁ ταπεινὸς Υἱὸς ὁ τῆς παιδίσκης σου
ἐν ὅλῃ τῇ καρδίᾳ μου δοξάζω σου τὸ ὄνομα [σου

ἐπείπερ με ἐφώτισας. Σὺ γὰρ τὸ φῶς εἶ, Κύριε,
τὸ φῶς εἶ τὸ ἀληθινόν, τὸ σέλας εἶ τὸ ἀψευδές,
τὸ σέλας τὸ πειθαρχικὸν τοῦ θεαρχίου καὶ πυρός,
ὁ θεῖός τε καθηγητὴς ἁπάντων τῶν πνευμάτων τε
ὁ πᾶσαν τὴν ἀλήθειαν ἡμῖν διδάσκων ἀκριβῶς
διὰ τῆς ἐπιχρίσεως τῆς σῆς, ὦ Πνεῦμα ἅγιον.
Τὸ Πνεῦμα τὸ πανάγιον τῆς ἀληθείας πνεῦμα ὄν,
οὗ ἄνευ ἔστ' ἀδύνατον εὐαρεστῆσαι τῷ Θεῷ·
ὅτι Θεὸς εἶ ἐκ Θεοῦ καὶ φῶς ὑπάρχεις ἐκ φωτὸς
ἀνερμηνεύτως ἐκ Πατρὸς τῶν φώτων μόνον προϊὸν
καὶ διὰ τοῦ Υἱοῦ αὐτοῦ τοῦ Ἰησοῦ Χριστοῦ πιστοῖς
ἐλέῳ χορηγούμενον. Οἷς δὴ καὶ ὁμοούσιον
ὑπάρχεις καὶ ἰσότιμον πνεῦμα καὶ συναΐδιον
ἐν τῇ μιᾷ Τριαδικῇ οὐσίᾳ δοξαζόμενον
καὶ βασιλεῦον σὺν αὐτοῖς.

—

Ἔγνων δὲ Θεὸν τὸν ζῶντα ἕνα τε ἀληθινόν τε,
τὸν Πατέρα τὸν Υἱόν τε τὸ Παναγιόν τε Πνεῦμα,
τρισσὸν ὄντα τοῖς προσώποις πλὴν μοναδικὸν τῇ φύσει,
ὃν ὁμολογῶ δοξάζω προσκυνῶ καὶ μεγαλύνω
ἀπὸ μέσης μου καρδίας· Σὲ τὸν ὄντως Θεὸν ὄντα
τὸν ἀθάνατον, τὸν μόνον, ἄτρεπτον ἀπρόσιτόν τε,
ἅγιον Θεὸν τῶν ὅλων, τὸν ἀνεξιχνίαστόν τε.
Φάος ἕν, ἥλιον ἕνα, ἕνα ἄρτον τὸν ἐξ ὕψους,
ἀγαθὸν ἕν, ζωὴν μίαν, μίαν τε ἀρχήν, ἓν τέλος.
Καὶ δημιουργόν τε ἕνα Οὐρανοῦ τε καὶ τῆς γαίας,
δι' οὗ πάντα ζῇ κινεῖται καὶ ὑφέστηκέ τε πάντα.



διευθύνεταί τε πάντα καὶ διέπεται πανσόφως
καὶ ζωοποιεῖται πάντα τὰ ἐν τοῖς ἐπουρανίοις
καὶ τὰ ἐν τῇ γῇ βιοῦντα καὶ τὰ ὑπὸ γῆν τελοῦντα.
Πλὴν αὐτοῦ Θεὸς οὐκ ἔστι, ἕτερος Θεὸς τῶν πάντων
οὔτ' ἐν οὐρανῷ δεσπόζει οὔτε καὶ ἐπὶ τῆς γαίας.

—

Οὕτως ἔγνων Σὲ τὸν μόνον Κύριόν μου καὶ Θεόν μου
τὸν ἐπιγινώσκοντά με οὕτως ἔγνων σέ, Θεέ μου.
Διὰ πίστεως Σὲ ἔγνων, ἣν ἐνέπνευσάς μοι, Λόγε·
ὦ τὸ φῶς τῶν ὀφθαλμῶν μου, ὦ τὸ φέγγος τῆς ψυ-
[χῆς μου,
Κύριέ μου ὁ Θεός μου ἡ ἐλπὶς τῆς γῆς ἁπάσης,
ὦ χαρὰ εὐφραίνουσά μου ἤδη τὴν νεότητά μου,
ἀγαθότης δὲ τὸ γῆρας ἡ ὑποστηρίζουσά μου·
Ἐπὶ γὰρ σοὶ Κύριέ μου ἐπαγαλλιᾶται πάντα
τὰ ὀστᾶ μου κράζοντά σοι· Κύριε, τίς ὅμοιός Σοι;
Κύριε, τίς ἐν θεοῖς σοὶ ὅμοιός ποτε ὑπάρχει;
Σοὶ τῷ μὴ χερσὶν ἀνθρώπων ἐν μορφῇ πεποιημένῳ,
τὰς δὲ τῶν ἀνθρώπων χεῖρας Σοὶ τῷ πλάσαντι παν-
[σόφως.
Τὰ γὰρ εἴδωλα χρυσίον καὶ ἀργύριον τελοῦσιν,
ἔργα δὲ χειρῶν ἀνθρώπων· ὁ Θεὸς οὐχὶ δὲ οὕτως
ὁ ἀνθρώπους διαπλάσας. Οἱ θεοὶ οἱ ἐν εἰδώλοις
τῶν ἐθνῶν ψευδεῖς δὴ πάντες καὶ δαιμόνια τελοῦσιν.
Ὁ Θεὸς τοὺς Οὐρανοὺς δὲ ἔκτισεν αὐτοῦ δυνάμει.
Οὗτός ἐστιν ὁ Θεός μου οὗτος καὶ ὁ Κύριός μου.
Οἱ θεοὶ οἱ τῶν ἐθνῶν δὲ οἱ τὸν Οὐρανὸν καὶ γαῖαν
μὴ ποιήσαντες αὐτίκα ἀπωλέσθησαν εἰς τέλος.

Τὸν Θεὸν τὸν Οὐρανὸν δὲ τὸν ποιήσαντα καὶ γαῖαν
Οὐρανὸς καὶ γῆ συμφώνως αἰνεσάτωσαν ἀξίως.

—

ΚΕΦΑΛΑΙΟΝ ΛΓ'

Ἐξομολόγησις τῆς ἰδίας ἑαυτοῦ ἐξουδενώσεως.

Τίς ὅμοιός σοι ἐν θεοῖς, τίς ὅμοιός σοι, Κύριε!
Μέγας ἐν ἁγιότητι εἶ φοβερὸς καὶ αἰνετὸς
ποιῶν μεγάλα τέρατα! Ὀψέ σε ἔγνων, Κύριε,
Θεὲ τὸ φῶς τἀληθινόν, ὀψὲ ἐγὼ ἐπέγνων σε.
Νεφέλη ματαιότητος τοῖς ὀφθαλμοῖς προσίστατο,
μεγάλη δὲ καὶ ζοφερά, ὥστε μὴ ἔχειν καθορᾶν
τὸν ἥλιον τὸν νοητὸν καὶ τὸ τῆς ἀληθείας φῶς.
Ἐκαλινδούμην ὁ υἱὸς τοῦ σκότους ἐν τῷ σκοτασμῷ,
ἠγάπων δὲ τὸν σκοτασμὸν τὸ φῶς τὸ θεῖον ἀγνοῶν·
τυφλὸς ἦν καὶ τὴν τύφλωσιν ἐφίλουν ὁ ταλαίπωρος,
εἰς σκότος διὰ σκότους δὲ ἐπορευόμην ἀγνοῶν.
Τίς τὸν ἐμὲ τυφλώττοντα ἐκεῖθεν ὁ ἐξαγαγὼν
καὶ ἐν τῷ σκότει καὶ σκιᾷ θανάτου προσκαθήμενον;

—

Τίς τῆς χειρὸς λαβόμενος ἐκεῖθέν με ἐξήγαγεν;
Τίς ἐστιν ὁ φωτίσας με, ὃν οὔ ποτε ἐζήτησα,
ἀλλ' ὅστις ἐξεζήτει με; ἐπεκαλούμην οὔποτε,
αὐτὸς δέ μ' ἀνεκάλεσε. Τίς οὗτος; Σὺ ὁ Κύριος

ὁ ποιητής μου καὶ Θεός, οἰκτίρμων ἐλεήμων ὤν.
Πατὴρ ὑπάρχων οἰκτιρμῶν, Θεός τε παρακλήσεως.
Σύ μου Θεὸς εἶ ἅγιος, Σὲ ὅλῃ τῇ καρδίᾳ μου
ὁμολογῶ Σωτῆρά μου, εὐχαριστῶ σοι δ' ἐκ ψυχῆς.
Οὐκ ἀνεζήτουν σε ἐγώ, Σὺ ἐξεζήτησας ἐμέ·
οὐκ ἐπικαλεσάμην σε, Σὺ ἀνεκάλεσας ἐμέ.

—

Ἐκάλεσάς με, Κύριε, καὶ γὰρ τῷ σῷ ὀνόματι
ἐβρόντησάς μοι ἄνωθεν φωνῇ μεγάλῃ ἠχηρᾷ
εἰς τὸ ἐνδότερόν μου οὖς, τῷ τῆς καρδίας μου ὠτί.
Φῶς γενηθήτω ἐν αὐτῇ, καὶ φῶς εὐθὺς ἐγένετο·
καὶ ὑπεχώρησε ταχὺ τὸ μέγα νέφος καὶ πυκνόν,
καὶ διετάκη πάραυτα ὑπορρυεῖσα ἡ ἀχλὺς
ἡ ζοφερὰ ἡ τὰ ἐμὰ ὄμματ' ἐπικαλύπτουσα,
καὶ ἦρά μου τοὺς ὀφθαλμοὺς καὶ εἶδόν σου τὸ θεῖον [φῶς,
καὶ ἔγνων τὴν φωνὴν τὴν σήν, καὶ εἶπα· ναὶ Σὺ ἀ[ληθῶς
εἶ ὁ Θεός μου, Κύριε, Σύ με ἐκ σκότους καὶ σκιᾶς
θανάτου με ἐξήγαγες καὶ πρὸς τὸ φῶς τὸ θαυμαστὸν
Θεέ, ἀνεκαλέσω με. Καὶ νῦν ἰδού σε καθορῶ,
εὐχαριστῶ σοι τῷ Θεῷ τῷ με διαφωτίσαντι.
Καὶ ἐπεστράφην, Κύριε, καὶ εἶδον οἷον ζοφερὸν
σκότος με κατεκάλυπτεν ἐν ᾧ ἦν κολινδούμενος,
καὶ ἄβυσσον τὴν ζοφεράν, ἐν ᾗ ἦν κατακείμενος,
καὶ τρόμος με κατέλαβε καὶ ἐξεπλάγην τεθηπὼς
καὶ εἶπα· Οὐαί μοι, βαβαί, εἰς οἷον καὶ ἡλίκον, φεῦ!
ἐνεπεπτώκειν σκοτασμόν! Οὐαὶ οὐαὶ ἐκείνης μου

τῆς φοβερᾶς τυφλότητος, ἐν ᾗ οὐκ εἶχον καθορᾶν
τὸ φῶς τὸ ἐκ τοῦ Οὐρανοῦ! Φεῦ, τῆς καταλαβούσης μ[ε]
ἀγνοίας, φεῦ, ὅτε, Θεέ, ἐγὼ οὔ σε ἐγίνωσκον.
Εὐχαριστῶ σοι, Κύριε, τοίνυν τῷ φωτοδότῃ μου
τῷ ποιητῇ καὶ ῥύστῃ μου, ὅτι ἐπέλαμψας ἐμοὶ
καὶ σὲ ἐπέγνων, Κύριε, ὀψὲ δὴ σ' ἔγνων, Κύριε,
ἀλήθεια ὑπέραρχε, ὀψέ, καὶ προαιώνιε
ἀλήθεια ἐπέγνων Σε· Σὺ μὲν γὰρ εἶ ἐν τῷ φωτί,
ἐγὼ δὲ ἐν τῷ σκότει ἦν, δι' ὃ Σὲ οὐκ ἐγίνωσκον,
ὅτι οὐκ εἶχον χωρίς σοῦ γε φωτισθῆναι, Κύριε·
οὐδὲ γάρ ἐστιν ἄνευθεν σοῦ φῶς ἐν κόσμῳ, Κύριε.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'

Ἀναπόλησις τῆς θείας Μεγαλωσύνης.

Θεὲ ἁγίων ἅγιε, Θεὲ Θεῶν ὑπέρτατε,
μεγαλωσύνης Κύριε ὑπερφυοῦς μὴ εἰκαστῆς·
κυριευόντων Κύριε, ἄφραστ' ἀπερινόητε,
Δημιουργὲ πανθαύμαστε, ὃν τρέμουσιν ἐν Οὐρανῷ
δυνάμεις αἱ Ἀγγελικαί, ὃν προσκυνοῦσιν εὐλαβῶς
θρόνοι καὶ κυριότητες, καὶ φρίττουσι θεάσασθαι
Ταξιαρχίαι ἅπασαι, οὗτινός ἐστιν οὐδὲ εἷς
τοῦ ἀριθμῆσαι ἀριθμὸς τὸ πλῆθος τῆς σοφίας σου
καὶ τῆς πολλῆς ἰσχύος σου. Ὁ στερεώσας Οὐρανὸν

καὶ θέμεθλα τιθεὶς τῇ γῇ καὶ πήξας ἐπὶ οὐδενός.
Ὁ ἐν ἀέρ' ὡς ἐν ἀσκῷ συνάγων ὕδατα πολλὰ
θαλάσσης διὰ ὑετούς. Πανυπεράγιε Θεέ,
Κύριε παντοδύναμε, ὕψιστε πανσθενέστατε!
ὁ τῶν πνευμάτων ὢν Θεός, σαρκός τε πάσης Κύριος,
πρὸ τοῦ προσώπου οὗτινος ὁ Οὐρανός τε καὶ ἡ γῆ
πανευλαβῶς ὑποχωρεῖ, καὶ ἐν τῷ νεύματι αὐτοῦ
ὑπείκει κτίσις ἅπασα. Σὲ νῦν προσκυνησάτωσαν
καὶ Σὲ συνδοξασάτωσαν τὰ κτίσματά σου ἅπαντα.

—

Ἰδοὺ κἀγὼ ὁ σὸς Υἱός, Υἱὸς ὁ τῆς παιδίσκης σου,
νῦν κάμπτω διὰ τῆς ἐμῆς ἀδιακρίτου πίστεως
αὐχένα τῆς καρδίας μου ὑπὸ τοὺς πόδας τῆς πολλῆς
θείας μεγαλωσύνης σου χάριτας καθομολογῶν,
ὅτι με τῷ ἐλέει σου φωτίσαι κατηξίωσας,
ὦ θεῖον φῶς ἀληθινόν, φῶς θεῖον τὸ πανάγιον,
φῶς θεῖον, φάος πάντερπνον, φάος τὸ ὑπερύμνητον,
φῶς ἐκ φωτὸς πανθαύμαστον, φῶς εἰς τὸν κόσμον
[ἄνωθεν
ἐκ τοῦ φωτὸς ἐρχόμενον καὶ τῷ ἀΰλῳ σου φωτὶ
φωτίζον πάντα ἄνθρωπον, φωτίζον ἔτι τε αὐτοὺς
τοὺς τῶν Ἀγγέλων ὀφθαλμούς· ἰδοὺ δὴ βλέπω, Κύριε,
διὰ τῆς χάριτος τῆς σῆς, ἰδοὺ δὴ βλέπω, ἅγιε,
τὸ φάος τὸ Οὐράνιον· ἀκτὶς ἐνδιαυγάζει γὰρ
τοῖς νοεροῖς μου ὀφθαλμοῖς, ἄνωθεν φῶς τρισήλιον,
ἡ τὰ ὀστᾶ μου ἅπαντα ἀδιαλείπτως τέρπουσα
ἀεὶ καταφαιδρύνουσα..."Ω...Εἴπερ αὕτη ἐν ἐμοὶ
εἰς τελειότητα ἀεὶ προσεπιδοίη, Κύριε!

Αὖξέ μοι, Λόγε δέομαι, ὁ χορηγὸς θείου φωτὸς
ἐπαύξησόν μοι, δέομαι, τὸ ἄρτι διαυγάσαν μοι οὐ
[ράνιον ἀπαύγασμ
ἐπεκτανθήτω παρὰ σοῦ ἀντιβολῶ, Πανάγαθε,
ὤ...προσεπεκταθήτω μοι τὸ φάος τὸ Οὐράνιον.

—

Τί τόδ', οὗ συναισθάνομαι; τί δ' ἔστι τουτοὶ τὸ πῦ
τὸ οὕτω τὴν καρδίαν μου διαθερμαῖνον, Κύριε!
τὸ σέλας δὲ ὁποῖόν τι τὸ οὕτως ἀκτινοβολοῦν
εἰς τὰ ἐντός μου ἀφανῶς! Ὦ πῦρ τὸ καῖον μὲν ἀεὶ
οὔποτε δὲ σβεννύμενον, περίφλεξόν με, δέομαι.
Ὦ φῶς τὸ φαῖνον ἐς ἀεὶ οὐδ' ὑπεκλεῖπον πώποτε,
καταύγασόν με δέομαι. Ὤφελον ὅλος ὑπὸ Σοῦ
ἐκπυρσευθείην, θεῖον πῦρ! Ὦ πῦρ δροσίζον ἅγιον,
οἷον ἡδὺ ἐμπυρπολεῖς, κρυφίως ὡς φεγγοβολεῖς,
ὡς ἐπιθελκτικῶς φλογί μου περιφλέγεις τὴν ψυχήν!
Οὐαὶ τοῖς μὴ τυγχάνουσι πεπυρωμένοις ὑπὸ σοῦ!
τοῖς μὴ ἐλλαμπομένοις τε ὑπὸ τῆς αἴγλης σου ἀεί!
Ὦ φάος τὸ ἀληθινόν, φάος φωτίζον ἅπαντας,
οὗ τινος ἡ μαρμαρυγὴ πληροῖ τὸν κόσμον ἅπαντα.

—

Οὐαὶ τοῖς πεπηρωμένοις τὰ ὄμματα τῆς καρδίας,
καὶ Σὲ τὸν ἥλιον, Λόγε, τὸν Οὐρανὸν καὶ τὴν γαῖαν
φωτίζοντα ταῖς ἀκτῖσι μήποτ' ἐπιδερκομένοις.
Οὐαὶ τοῖς ἀμβλυωποῦσι καὶ πρὸς τὸ φῶς ἀβλεπτοῦσι
καὶ σὲ θεάσασθαι, Λόγε, μηδόλως, φεῦ! δυναμένοις.
Οὐαὶ τοῖς μὴ βουλομένοις ἐκστατικῶς ἀτενίζειν
πρὸς τὴν φωτίζουσαν πάντας ἀλήθειαν οὐρανίαν,

τοῖς μὴ ἀποστρέφουσι δὲ τοὺς ὀφθαμοὺς ὥστε βλέπειν
τὴν ματαιότητα πᾶσαν. Οὐ γὰρ πεφύκασι βλέπειν
οἱ ὀφθαλμοὶ οἱ ἐθάδες ἐν σκότει προσατενίζειν
τῆς ἀληθείας τῆς θείας τὰ ἀμαρύγματα ὅλως·
οὐδὲ ποιεῖσθαί τε λόγον φωτὸς οἷς ἐστι ἐν ζόφῳ
ἡ οἴκησις διὰ βίου· τὸ σκότος ἀεὶ γὰρ ὁρῶσι,
ἀσπάζονται δὲ τὸ σκότος, τὸ σκότος ἐπευδοκοῦσιν·
καὶ μεταβαίνοντες πάντες ἀπὸ τοῦ σκότους εἰς σκότος
οὐδ' ἴσασιν οἱ ἐν σκότει οἱ Σέ, Θεέ, ἀγνοοῦντες,
οἱ καταπίπτουσι πάντες. Ὡς ἄθλιοι οἱ ἐν σκότει
οἱ μὴ εἰδότες, ὁποίου φωτὸς ἀπλέτου στεροῦνται.
Ἀλλ' ἀθλιώτεροι ἔμπης οἱ καταφερόμενοι ἐν
βλεφάροις ἀνεῳγμένοις καὶ καταβαίνοντες ζῶντες
εἰς Ἅδου πύλας ζοφώδεις.

—

Ὦ φάος τὸ μακάριον τὸ ὑπὸ μόνων καθαρῶν
ὀμμάτων καθορώμενον. «Μακάριοι οἱ καθαροὶ
καρδίᾳ διανοίᾳ τε, ὅτι αὐτοὶ Σὲ τὸν Θεὸν
τὸν παντουργέτην ὄψονται». Καθάρισόν με δύναμις
καθαρτικὴ καὶ πανσθενής, τὴν ὀφθαλμίαν ἴασαι,
ὅπως ἂν σὲ θεάσασθαι ἔχοιμι φῶς τρισήλιον
ἐν ἐρρωμέναις ὄψεσι τὸν μήποτ' ὀπτανόμενον
τοῖς πάσχουσι τοὺς ὀφθαλμούς.
Ἄφελέ μοι ὡς ἀγαθὸς Σὺ ἀπὸ τῶν ὀμμάτων μου
τὰς ἐκ τῆς παλαιᾶς ἐμῆς ἀχλύος γενομένας μοι
λεπίδας, Δέσποτε Χριστέ, τῇ αἴγλῃ τῆς ἀειλαμποῦς
θείας φωτοχυσίας σου ὡς ἂν δυναίμην καθαρῶς
Σὲ ἐποπτεύειν, Κύριε, ἐπιβολαῖς τῆς ὄψεως

καὶ ἐν τῷ θείῳ σου φωτὶ τὸ φάος σου κατόψωμαι.
Εὐχαριστίαν ἄπαυστον σοὶ ἀναπέμπω, φῶς ἐμόν.
Ἰδοὺ νῦν βλέπω καθαρῶς.
Ἡ ὅρασίς μου, δέομαι Κύριε, πλατυνθείη μοι.
Σὺ, λόγε, ἀποκάλυψον τοὺς τῆς ψυχῆς μου ὀφθαλμούς,
κατανοήσω δὲ ἐγὼ τοῦ νόμου τὰ θαυμάσια
σοῦ τοῦ θεοῦ τοῦ θαυμαστοῦ ὄντος ἐν τοῖς ἁγίοις σου».
Εὐχαριστῶ σοι, θεῖον φῶς· ὦ φάος τῆς ἐμῆς ψυχῆς·
Ἰδοὺ δὴ βλέπω νῦν τὸ φῶς· πλὴν βλέπω δι' ἐσό-
[πτρου νῦν
καὶ ὥσπερ ἐν αἰνίγματι· πότε δὲ ἆρα ὄψομαι
Σὲ πρόσωπον πρὸς πρόσωπον ; ὅτε ἡ ἡμέρα τοῦ
[Χριστοῦ
τῆς εὐφροσύνης καὶ χαρᾶς καὶ τῆς ἀγαλλιάσεως
ἀφίξεται, καθ' ἣν κἀγὼ ὁ τάλας εἰσελεύσομαι
εἰς τὸν παμπόθητον, Χριστέ, τόπον τοῦ σοῦ σκηνώ-
[ματος
ἕως τοῦ Οἴκου σου αὐτοῦ, ἵνα κἀγὼ ἐπόψωμαι
Σὲ πρόσωπον πρὸς πρόσωπον τὸν βλέποντα με Κύ-
καὶ κορεσθῇ ἡ καρδία μου. [ριον

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'

Περὶ πόθου ψυχῆς Θεὸν διψώσης.

Ὃν τρόπον ἐπὶ τὰς πηγὰς διψῶσα ἔλαφος ποθεῖ,
οὕτως καὶ ἡ ἐμὴ ψυχὴ πρὸς Σὲ Θεὲ ἐπιποθεῖ.
Ἐδίψησέ μου ἡ ψυχὴ πρὸς τὸν Θεὸν τὸν ἰσχυρόν,

πρὸς τὸν Θεὸν τὸν σώζοντα. Ὦ πότ' ἀφίξομαι πρὸς Σὲ
καὶ παραστήσομαι κἀγὼ πρὸ τοῦ προσώπου σου, Θεέ;
Ὦ ζωοπάροχος πηγή, ὦ φλὲψ ὑδάτων ζωηρῶν !
πότε ἀφίξομαι πρὸς Σὲ ἐπὶ τὰ τῆς γλυκύτητος ρεῖθρα
τῆς ἡδυτάτης σου πηγῆς, ἀπὸ τῆς γῆς τῆς αὐχμηρᾶς
ἐρήμου καὶ ἀβάτου γῆς, ἀνύδρου καὶ ἀνίκμου γῆς,
τοῦ κατιδεῖν τὴν δόξαν σου καὶ τὴν πολήν σου δύναμιν,
ὡς κορεσθῇ μου τῆς ψυχῆς τὸ δίψος τὸ συνέχον με,
ἐκ τῶν ναμάτων τῆς πηγῆς, Θεέ μου, τοῦ ἐλέους σου;
Διψῶ δὴ καὶ τῶν ζωηρῶν ναμάτων Σὺ εἶ ἡ πηγή.
Σὺ κόρεσόν με, Κύριε. Διψῶ τὸν ζῶντα Σὲ Θεόν.
Ὦ πότε ἥξω δὴ πρὸς Σὲ καὶ τῷ προσώπῳ σου κἀγὼ
ὁ Σὲ ποθῶν ὀφθήσομαι; Ἆρα ἐπόψομαι κἀγὼ
ἐκείνην τὴν ὑπέρλαμπρον ἡμέραν, ἣν ἐποίησεν, ὁ Κύ-
[ριος ὁ ἅγιος,
τῆς εὐφροσύνης καὶ χαρᾶς τῆς ἀιδίου τέρψεως,
ἵν' ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ ;


—

Ὦ ὑπερδιαυγεστάτη καὶ ὡραία σὺ ἡμέρα,
ἡ ἑσπέραν ἀγνοοῦσα, ἡ μὴ ἔχουσά τε δύσιν·
ἐν ἡμέρᾳ ᾗ ἀκούσομαι φωνὴν αἰνέσεώς σου
καὶ φωνὴν δοξολογίας τῆς ἀγαλλιάσεώς τε·
ἐν ἡμέρᾳ ᾗ τῆς θείας ἐπακούσομαι φωνῆς σου
τῆς λεγούσης, εἴσελθε δὴ νῦν εἰς τὴν χαρὰν τὴν μό-
τὴν χαρὰν τοῦ σοῦ Κυρίου. [νην,
Εἰς τὴν διαιωνίζουσαν χαρὰν τὴν τοῦ Κυρίου σου !
Εἴσελθε εἰς τὸν οἶκον νῦν τοῦ σοῦ Κυρίου καὶ Θεοῦ,
ἔνθα μεγάλα θαυμαστὰ ὅλως ἀνεξερεύνητα,

ὧν περ οὐκ ἔστιν ἀριθμός. Εἴσελθε νῦν εἰς τὴν χαρὰν
τὴν ἄνευ λύπης οἱασοῦν, χαρὰν τὴν περιέχουσαν
πανευφροσύνην ἄληκτον, ἔνθ' ἔσται ἅπαν ἀγαθόν,
οὐδὲν δὲ εὕρηται κακόν· ἔνθα παρέσται σοι ἀεὶ
πᾶν ὅ,τι θέλεις καὶ οὐδέν, ὃ ἂν μὴ θέλῃς ἔσται σοι
ἔνθα ζωή τε ζωηρὰ γλυκεῖα καὶ ἐρατεινὴ
ζωή τε ἡ ἀοίδιμος· ὅπου πολέμιος οὐδεὶς
ἀντιπροσβάλλων ἔσεται, οὐδὲ ἐπαγωγή τε τις,
τελεία δ' ἡ ἀσφάλεια καὶ ἡ γαλήνη ἀσφαλής,
βεβαία καὶ γαλήνιος ἔστ' ἡ τερπνότης ἡ ἐκεῖ,
καὶ ἡ εὐδαιμονία δὲ εὐφρόσυνος καὶ πάντερπνος,
καὶ ἡ ἀιδιότης δὲ τελεία πανευδαίμων τε,
καὶ ἡ μακαριότης τε ἀίδιος καὶ ἄληκτος,
καὶ ἡ Τριαδικὴ Ἑνάς, ἡ Μακαρία τε Τριάς,
Θεότης Ἑνιαία τε, ἡ μακαριωτάτη τε
Θεότητος ἡ ὅρασις, ἣ ἡ ἀνέκφραστός ἐστιν
χαρὰ ἡ τοῦ Κυρίου μου.

—

Ὦ δὴ χαρὰ ὑπερχαρὴς ἡ πᾶσαν ὑπερβάλλουσα
χαράν, ἧς περ ἐκτὸς οὔ τις χαρὰ ἐν κόσμῳ πέφυκε !
Πότ' εἰσελεύσομαι εἰς σέ, ἵνα τὸν ἐνοικοῦντά σοι
ἴδω Θεὸν τὸν πλάστην μου; καὶ ἥξω καὶ ἐπόψομαι
τὸ μέγα τόδε ὅραμα· τί δ' ἔστι τὸ ἐπέχον με ;
Οἴμοι ! ἡ παροικία μου ὡς ἐμακρύνθη, Κύριε !
Οἴμοι ὡς πότ' ἐροῦσί μοι, ποῦ ἔστιν ὁ Θεὸς ὁ σός;
ἕως δὴ πότε τοῦτό μοι ῥηθήσεται, Παμβασιλεῦ,
ἀνάμεινον· ὑπόμεινε· καὶ ἡ ὑπομονή μου τίς ;



Οὐχὶ αὐτὸς ὁ Κύριος; τὸν γὰρ σωτῆρα Κύριον ἡ-
[μεῖς ἀπεκδεχόμεθα,
τὸν Ἰησοῦν Χριστὸν ἡμῶν, ὅστις μετασχηματιεῖ
τὸ σῶμα τὸ ἀνθρώπειον τῆς ταπεινώσεως ἡμῶν
εἰς τὸ γενέσθαι καὶ ἡμᾶς συμμόρφους δὴ τῷ σώ
τῆς θείας δόξης τῆς αὐτοῦ. [ματι
Ἰδοὺ δὴ περιμένομεν τὸν Κύριον τὸν ἀγαθόν,
πότε ἂν ἐπιστρέψειεν ἀπὸ τῶν γάμων πρὸς ἡμᾶς,
ἵν' εἰσαγάγῃ καὶ ἡμᾶς εἰς τὸν Νυμφῶνα ἑαυτοῦ.
Ἐλθὲ δή, Κύριε, ἐλθὲ καὶ μὴ χρονίσῃς πρὸς ἡμᾶς,
ἐλθὲ δή, Ἰησοῦ Χριστέ, ἐλθὲ ἐπίσκεψαι ἡμᾶς
εἰρήνην χαριζόμενος. Ἐλθὲ καὶ ἐκ τῆς φυλακῆς
δεσμώτας Σὺ ἐξάγαγε, ἵνα σοῦ κατενώπιον
ὅλῃ καρδίᾳ, ὁ Θεός, σοὶ ἀγαλλιασώμεθα.
Ἐλθέ, τὸ φάος τὸ ἐμόν, ἐλθέ, ὁ ῥύστης ὁ ἐμός,
ἐξάγαγέ μου τὴν ψυχὴν ἐκ φυλακῆς ὁ Κύριος,
τοῦ ἐξομολογήσασθαί Σοι ἐν τῷ ὀνόματι τῷ Σῷ!

—

Ἀλλ' ἕως πότε, Κύριε, ὁ τάλας ἐν τοῖς κύμασι
ταύτης δὴ τῆς θνητότητος ἐγὼ κλυδωνισθήσομαι
κράζων πρὸς Σὲ τὸν ῥύστην μου, Σὺ δὲ οὐκ εἰσα-
[κούσει μου;
Ἐπάκουσόν μου, Κύριε, τοῦ κεκραγότος νῦν πρὸς Σὲ
ἐκ τῆς μεγάλης ταυτησὶ θαλάσσης, καὶ προσόρμισον
ἐν τῷ λιμένι τῆς ἐκεῖ εὐδαίμονος, ἀτέρμονος,
ἑδραίας καταστάσεως. Εὐδαίμονες οἱ τοῦ δεινοῦ
τοῦ βίου τούτου κλύδωνος καὶ τοῦ κινδύνου ταυτησὶ
τῆς τρικυμίας τῆς πολλῆς ὑπεξαχθέντες ὑπὸ Σοῦ,

καὶ δὴ πρὸς Σὲ τὸν ἀγαθὸν Θεὸν προσορμισθῆναι νῦν
ἀξιωθέντες διὰ σοῦ, ὅρμον τὸν ἀσφαλέστατον.
Ὦ τρισευδαίμονες ὑμεῖς οἱ ἀπὸ τοῦ ἀφρίζοντος
πελάγους ἐπὶ τὴν ἀκτὴν αἰσίως προσορμίσαντες,
οἱ ἐξ ὑπερορίας δὲ εἰς τὴν πατρῴαν αὖθις γῆν
καὶ οἱ ἀπὸ εἱρκτῆς ἐπὶ τὰ τοῦ Πατρὸς ἀνάκτορα
προσαφιγμένοι χαίροντες! Αὐτοὶ τῆς ἀναπαύσεως
τῆς ἀπολύτου ἐφετῆς τετυχηκότες ἤδη ναί
μακάριοι ὑπάρχουσιν! Τῆς δόξης τῆς ἀλήκτου γὰρ
βραβεῖον τὸ Οὐράνιον, ὅπερ αὐτοὶ ᾐτήσαντο
ἐνταῦθα διὰ θλίψεων, μετὰ τῆς τέρψεως αὐτῆς
τῆς μακαρίας οἱ κλητοὶ λαβόντες αἰωνίως νῦν
ἀγάλλονται, μακάριοι. Ὡς ἀληθῶς μακάριοι,
ὄντως καὶ τρὶς μακάριοι· οἳ τῶν κακῶν ἁπάντων νῦν
ἀποδυθέντες ἐς ἀεί, ἐπὶ τῆς ἀμαράντου δὲ
δόξης ἐγκαταστάντες νῦν ἐν ἀσφαλείᾳ ἅπαντες
εἰς τὴν τῆς βασιλείας σου, Λόγε Θεοῦ, εὐπρέπειαν
ἵκεσθαι ἠξιώθησαν. Ὦ Βασιλεία Οὐρανῶν,
ἧς τέλος οὐ ποτέ ἐστιν, ἁπάντων τῶν αἰώνων γὰρ
ἡ Βασιλεία πέλεις σύ· ἔνθα τὸ φῶς ἀνέκλειπτον
καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ νόας ὑπερέχουσα·
ἔνθα ἐπαναπαύονται αἱ τῶν ἁγίων νῦν ψυχαί,
ὑπὲρ δὲ κεφαλὰς αὐτῶν ἡ εὐφροσύνη ἄληκτος.
Χαρᾶς γὰρ ἀπολαύουσιν ὡς καὶ ἀγαλλιάσεως
καὶ πᾶσα λύπη ἀπ' αὐτῶν ὀδύνη τε καὶ στεναγμὸς
ἀπέδρα ἤδη ἀπ' αὐτῶν.

—

Ὡς λίαν ὑπερένδοξος ἡ βασιλεία σοῦ ἐστιν,




ἐν ᾗ σὺν σοὶ οἱ ἅγιοι ἅπαντες βασιλεύουσι
τὸ φῶς ὥσπερ ἱμάτιον ἔχοντες περιβόλαιον
καὶ στέφανον ἐν κεφαλῇ λίθου τιμίου φέροντες.
Ὢ βασιλείας οὐρανῶν, ὢ τῆς μακαριότητος
ἥτις διαιωνίζεται, ἐν σῇ Χριστέ μου Ἰησοῦ,
ἡ τῶν ἁγίων σου ἐλπὶς καὶ τὸ διάδημα αὐτῶν
τῆς δόξης τῆς φωτολαμποῦς, ὁ καθορώμενος αὐτοῖς
πρόσωπον κατὰ πρόσωπον, εὐφραίνεις κατατέρπεις τε
τῇ σῇ εἰρήνῃ πάντοθεν τῇ ἅπασαν διάνοιαν
ὑπερεχούσῃ, Κύριε. Ἐκεῖ ἀίδιος χαρὰ
ἡ πέρας οὔ ποτ' ἔχουσα, τέρψις ἀνίας ἄνευθεν,
ῥῶσις ἄνευ ὀδύνης τε, ὁδός τε μόχθου οὔτινος,
φῶς ἄνευ σκότους φαίδιμον, ζωὴ θάνατον ἄνευθεν,
ἔνθ' ἅπαν ἔστι ἀγαθὸν ἀμέθεκτον παντὸς κακοῦ,
ὅπου νεότης διαρκὴς μηδέποτε γηράσκουσα,
ὅπου βιότης ἄπαυστος ἡ ἀγνοοῦσα ὅριον,
ὅπου τὸ κάλλος ἄφθιτον μηδέποτε ὑπωχριῶν,
ὅπου ὁ ἔρως ἔνθερμος μή ποτε χλιαινόμενος,
ὅπου ὑγεία σταθερὰ ἣ οὔ ποτε μαραίνεται,
ὅπου τε ἄκρα χαρμονὴ ἐλαττουμένη πώποτε,
ἔνθ' ἄλγος αἰσθητὸν οὐδέν, οὐδ' ἀκουστός τις στεναγ-
ὅπου οὐδὲν ἀνιαρόν ποτε τυγχάνει ὁρατόν, [μός,
ἔνθα ἡ θυμηδία δὲ ὑπάρχει ἀδιάλειπτος,
ἔνθ' οὔτις πτόησις κακοῦ, ἐπεὶ τοῦ ἄκρου ἀγαθοῦ
ἐκεῖ ἐσθ' ἡ ἀπόλαυσις, τοῦτο δ' ἐστὶ τὸ τοῦ Θεοῦ
Κυρίου τῶν δυνάμεων διὰ παντὸς τὸ πρόσωπον
ἐκεῖ ὁρᾶσθαι ὑπ' αὐτῶν.

—

Εὐδαίμονες τοίνυν εἰσὶν ὁπόσοι ἐκ τῆς λήξεως
τῆς ἐπικαίρου ταυτησί, ἣ τόσα παρακολουθεῖ
ναυάγια καὶ ποντισμοί, ἐπὶ τὰς τέρψεις τὰς ἐκεῖ
τὰς ὑπὲρ νοῦν καὶ ἔννοιαν τοῦ μεταστῆναι ἄξιοι
ἐγένοντο σῇ χάριτι. Ἀλλ' οἴμοι κακοδαίμονες
ἡμεῖς τε καὶ ἐλεεινοὶ οἱ διὰ τῶν τρικυμιῶν
τῶν τηλικούτων καὶ διὰ τῶν ἀχανῶν ἀβύσσων τε
ἐν οὕτω κλύδωνι σφοδρῷ τὸ εὔθραυστον ἀκάτιον
ἡμῶν ἐν τρόμῳ ἕλκοντες, καὶ μὴ εἰδότες εἴ ποτε
εἰς ὅρμον δυνησόμεθα ἄρα ἐλθεῖν σωτήριον.
Ὡς κακοδαίμονες ἡμεῖς, φημί, τὲ καὶ ἐλεεινοί,
ὧν περ ὁ βίος ὁ ἐν γῇ ἐν ἐξορίᾳ γίνεται,
καὶ ἐν κινδύνῳ ἡ ὁδός, ἀμφίβολον τὸ τέλος δέ·
οἱ οὐδ' εἰδέναι ἔχομεν σαφῶς ποῦ καταλήξομεν·
διὰ τὸ πάντα ἀσαφῆ τὰ ἐν τῷ μέλλοντι ἡμῖν
ἐναποκεῖσθαι ἄδηλα, τοῖς ἔτι διαπλέουσιν
ἐν τρικυμίᾳ δὴ σφοδρᾷ πελάγους οὕτω ἀχανοῦς
καὶ πρὸς λιμένα ἀσφαλῆ πρὸς Σὲ ἐπιστενάζουσιν.
Ὦ προσφιλὴς ἡμῶν πατρίς, ἡ ἀσφαλὴς ἡμῶν πατρίς,
σὲ νῦν ὁρῶμεν πόρρωθεν, ἀπὸ τοῦ βίου τουτουὶ
σὲ νῦν κατασπαζόμεθα, ἐκ τῆς κοιλάδος ταυτησὶ
σὲ μόνον ἀναπνέομεν, ἐν δάκρυσι καὶ στεναγμοῖς
πρὸς σὲ κατεπειγόμεθα εἴ πως ἡμῖν τε ἔνεστι
πρὸς Σὲ ἱκέσθαι ἀσφαλῶς.

—

Χριστέ, ἀνθρώπων ἡ ἐλπίς, Θεὲ ἀρρεύστως ἐκ Θεοῦ,
καταφυγὴ καὶ δύναμις, φῶς ἐκ φωτός, οὐ πόρρωθεν



τὸ φέγγος ἀκτινοβολεῖ, διασελάζει τε αὐγαῖς, οἷον
[ἀστέρος τις ἀκτὶς
νέφεσ' ἐν ἀχλυώδεσι πρὸ ὀφθαλμῶν τοῖς πλέουσι ἐν
[καταιγίδι ἰσχυρᾷ
θαλάσσης ὑπὸ κλύδωνος κυμαινομένης ἰσχυρῶς,
ὅπως κατευθυνθείημεν εἰς τὸν λιμένα, Κύριε,
τὴν ναῦν ἡμῶν κυβέρνησον τῇ πανσθενεῖ σου δεξιᾷ
τῷ πηδαλίῳ τοῦ σταυροῦ, μὴ ἀπολώμεθα ἐν πλῷ
ἐν τοῖς τοσούτοις κύμασι, μηδὲ δὴ ὑποβρύχιοι
τοῖς ὕδασι γενώμεθα, μηδὲ βυθὸς ἀπύθμενος
ἐν κόλποις ὑποδέξηται καὶ καταπίῃ ἅπαντας·
ἀλλὰ ἀγκίστρῳ τοῦ σταυροῦ ἐκ τοῦ πυθμένος τουτουὶ
Σὺ ἐξανέλκυσον, Χριστέ, πρὸς Σὲ τὴν μόνην ἀληθῆ
παράκλησιν ἡμῶν, ὅν περ ἀπὸ μακρόθεν βλέπομεν,
ὥσπερ ἀστέρα πρωϊνόν, καὶ ὥσπερ ἥλιον λαμπρόν,
δικαιοσύνης ἥλιον, δεδακρυσμένοις ὀφθαλμοῖς πάντες
[ἐνατενίζομεν
ἑσιῶιά τ' ἐκδεχόμενόν θ' ἡμᾶς ἑλκύσαι πρὸς αὐτήν,
πρὸς τὴν πατρίδα τὴν ἡμῶν τὴν οὖσαν ἐν τῷ οὐρανῷ.

—

Ἰδοὺ δή Κύριε πρὸς Σὲ οἱ δοῦλοί σου κραυγάζομεν
οἱ λυτρωθέντες ὑπὸ σοῦ, ἀλλὰ νῦν ἔμπης πόρρω σοῦ
ἠλάσκοντες οἱ ἄθλιοι, οὓς τῷ τιμίῳ σου αὐτῷ
αἵματι ἐξηγόρασας «Ἐπάκουσον ἡμῶν, Θεέ,
καὶ τῶν περάτων γῆς ἐλπὶς τῶν ἐν θαλάσσῃ τε μα-
[κράν».
Καὶ γὰρ περιστρεφόμεθα μέσῳ θαλάσσης ἐς ἀεὶ
κυμαινομένης διαρκῶς. Σὺ ἐπὶ τὴν ἀκτὴν ἑστὼς

τοὺς περικλείοντας ἡμᾶς κινδύνους πάντας καθορᾷς·
ὦ σῶσον κινδυνεύοντας διὰ τὸ ὑπεράγιον
καὶ ἔνδοξόν σου ὄνομα.
Ὦ, δός, ἐπικαλούμεθα σὲ Κύριε πανάγαθε,
σαλευομένους διαρκῶς σκοπέλων μέσῳ φοβερῶν
τῆς Σκύλλης καὶ Χαρύβδεως οὕτω ἐκ μέσου διελθεῖν,
ὥστε τὸν ἑκατέρωθεν διαφυγόντας κίνδυνον
ἅμα τῷ σκάφει ἀσφαλῶς τοῖς ἀγωγίμοις πᾶσί τε
καθορμισθῆναι ἅπαντας ἐν τῷ λιμένι ἔνθα εἶ.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ'

Περὶ τοῦ φωτὸς τῆς δόξης.

Ἐπὰν δὲ ἔλθωμεν πρὸς Σέ, πρὸς τῆς σοφίας τὴν
[πηγήν,
πρὸς Σὲ τὸ φῶς τὸ ἄδυτον, τὸ φάος τὸ ἀνέκλειπτον,
ὥστε καὶ κατοπτεύειν Σε οὐκ ἐν ἐσόπτρῳ, Κύριε,
οὐδέ τε ἐν αἰνίγματι, ἀλλὰ πρὸς πρόσωπον ἀεὶ
πρόσωπον κατοπτεύειν Σε, τότε ἐν ἀγαθοῖς ἡμῶν
ἡ Σὲ ποθήσασα ψυχὴ τελείως χορτασθήσεται·
οὐδὲν γὰρ ἔξωθεν ἡμῶν τὸ τηνικαῦτα, Κύριε,
καλὸν ὑπολειφθήσεται, ὅπερ ποτ' ἂν κινήσειε
τὸν πόθον ἐν ἡμῖν αὐτοῦ, πλὴν ἢ Σὺ μόνος, Κύριε,
τῶν ἀγαθῶν τὸ ἄριστον, τὸ μόνον, τὸ ἀκρότατον,
ὃ τὸ βραβεῖον τοῖς πιστοῖς καὶ μακαρίοις Ἰησοῦ

γλυκύτατε, ἐσόμενος, καὶ τὸ λαμπρὸν διάδημα
τῆς εὐπρεπείας τῆς αὐτῶν, τὸ θεῖον ἀγαλλίαμα
τὸ ἐπὶ κεφαλῆς αὐτῶν, διδοὺς εἰρήνην ἔσωθεν
καὶ ἔσωθεν διὰ παντὸς διὰ τῆς θεσπεσίας σου
εἰρήνης τῆς ἐν σοὶ Χριστέ, ἣ ὑπερέχει πάντα νοῦν.
Ἐκεῖ σε κατοψόμεθα καὶ ἀγαπήσομεν ἐκεῖ
καί Σε αἰνέσομεν ἐκεῖ καὶ ἐποψόμεθα τὸ φῶς
ἐν τῷ φωτί σου, Κύριε.
Σὺ γὰρ εἶ τῆς ζωῆς πηγὴ καὶ ἐν τῷ σῷ φωτὶ ἡμεῖς
φῶς ἄδυτον ὀψόμεθα. Οἷον δὲ φῶς! φῶς ἅγιον,
φῶς ἱερόν, ἐξαίσιον, φῶς ἄυλον, ἀσώματον,
ἀκήρατον, ἀσύγκριτον, τῷ νῷ δὲ ἀκατάληπτον·
φῶς ἄδυτον, ἀνέκλειπτον, ἀπρόσιτον, φῶς ἄκτιστον,
φῶς θεῖον, φῶς ἀληθινόν· φῶς τὸ φωτίζον ὀφθαλμοὺς
τῶν Σεραφεὶμ καὶ Χερουβείμ· τὸ τὴν νεότητα ἀεὶ
εὐφραῖνον τῶν ἁγίων σου, τὸ φῶς ὂν φώτων καθαρῶν
καὶ φῶς ζωῆς πηγαῖον ὄν, ὅπερ αὐτὸς Σὺ εἶ, Χριστὲ
ὁ Κύριός μου καὶ Θεός.

—

Σὺ γάρ, Θεέ μου, εἶ τὸ φῶς καὶ ἐν τῷ σῷ φωτὶ ἡμεῖς
φῶς θεῖον ἐποψόμεθα· Σὲ δηλονότι, Κύριε,
ἐν σοί, ἐν αἴγλῃ τοῦ προσώπου σου ὅτε σε πρόσωπον
πρὸς πρόσωπον ὀψόμεθα. Τί δ' ἔστι τὸ πρὸς πρόσω-
πρόσωπον κατοψόμεθα, ἢ ὅπερ ὁ Ἀπόστολός [πον
φησιν, τὸ ἐπιγνῶναί με καθάπερ με ἐπέγνωκε·
τὸ τὴν ἀλήθειαν τὴν σὴν καὶ δόξαν σὴν γινώσκειν με,
τοῦτ' ἔστιν τὸ γινώσκειν με τὸ πρόσωπόν σου, Κύριε.
Γινώσκειν με τὴν τοῦ Πατρὸς θεότητα καὶ δύναμιν,

καὶ τὴν σοφίαν τοῦ Υἱοῦ, καὶ τὴν ἀγαθωσύνην δὲ
τοῦ Παναγίου Πνεύματος, Τριάδος τῆς θεαρχικῆς
τὴν ἑνιαίαν φύσιν τε, οὐσίαν τ' ἀδιαίρετον·
τὸ γὰρ ὁρᾶν με τοῦ Θεοῦ τὸ πρόσωπον πρὸς πρόσω-
αὐτό ἐστι τῶν ἀγαθῶν τὸ θεῖον τὸ ἀκρότατον, [πον
ἡ τῶν Ἀγγέλων τε χαρά, ἁπάντων τῶν ἁγίων τε
τὸ ἆθλον τὸ οὐράνιον τῆς αἰωνίου χαρμονῆς
ζωῆς τῆς αἰωνίου τε, ἡ δόξα τῶν πνευμάτων τε,
ἡ μόνη ἀγαλλίασις ἡ πέρας μήποτ' ἔχουσα,
τῆς εὐπρεπείας στέφος τε, γέρας μακαριότητος,
ἡ μόνη περιούσιος ἀίδιος ἀνάπαυσις,
ἡ τῆς εἰρήνης τῆς ἐν σοὶ ἡ ἐνδοτάτη καλλονή,
ἡ τέρψις καὶ φαιδρότης τε ἡ ἔξω διαλάμπουσα·
ὁ τοῦ Θεοῦ παράδεισος, ἡ ἄνω Ἱερουσαλήμ,
ἡ μακαρία τε ζωή, τὸ πλήρωμα τῶν ἐφετῶν
εὐδαιμονίας πάσης τε, ἡ εὐφροσύνη ἡ πολλὴ
ἡ ἀιδίως μένουσα· ἡ θεία καὶ ἀνέκφραστος
εἰρήνη ἡ ἐν οὐρανῷ ἡ ὑπὲρ πᾶσαν ἔννοιαν
καὶ γνῶσιν καὶ κατάληψιν.

—

Ἡ δόξα ἡ ὁλοτελὴς καὶ ἡ μακαριότης δὲ
ἀνθρώπου τοῦ θεοφιλοῦς αὕτη ἐστὶν ἡ ἀληθής,
τὸ καθορᾶν τὸ πρόσωπον Κυρίου τοῦ Θεοῦ αὐτοῦ,
τὸ καθορᾶν τὸν ποιητὴν τοῦ Οὐρανοῦ τε καὶ τῆς γῆς,
θεᾶσθ' αὐτὸν δημιουργὸν αὐτοῦ, τὸν σώσαντα αὐτὸν
καὶ συνδοξάσαντα αὐτόν. Θεάσεται γινώσκων γὰρ
καὶ ἀγαπήσει δὲ ἐρῶν, αἰνέσει ἀπολαύων δὲ·
αὐτός ἐστιν ἡ τοῦ λαοῦ κληρονομία τοῦ αὐτοῦ,

λαοῦ ἁγίων, ὃν αὐτὸς τῷ θείῳ αἵματι αὐτοῦ
τῷ ἐκχυθέντ' ὑπὲρ αὐτοῦ ὁ πλάστης ἐξηγόρασεν·
αὐτός τε ἡ ἀπόλαυσις εὐδαιμονίας τῆς αὐτῶν,
αὐτὸς τὸ γέρας, ὁ μισθὸς τῆς προσδοκήσεως αὐτῶν.
Ἔσομαι γὰρ φησὶν αὐτός, πολύς σου σφόδρα ὁ μισθός.
Μεγάλα τοῖς μεγάλοις γὰρ ἐμπρέπει καὶ θαυμάσια·
ὄντως, Θεέ μου Κύριε, Σὺ μέγας εἶ καὶ θαυμαστός,
ὑπερυψώθης σφόδρα γὰρ Σὺ ὑπὲρ πάντας τοὺς θεοὺς
καὶ μέγας σφόδρα ὁ μισθός σου ἔστιν, ὁ Θεὸς ἡμῶν.
Οὐ γὰρ Σὺ μὲν εἶ μέγιστος, μικρὸς δ' ἐστὶν ὁ σὸς
[μισθός,
ἀλλ' ὥσπερ μέγας εἶ αὐτός, οὕτω δὴ μέγας, Κύριε,
καὶ ὁ μισθὸς ὁ παρὰ σοῦ. Οὐ γὰρ μὲν ἄλλος ἦσθα Σύ,
ἄλλος δ' ὁ παρὰ σοῦ μισθός, ἀλλὰ αὐτὸς Σὺ εἶ μισθὸς
μεγάλος σφόδρα πρὸς ἡμᾶς. Σὺ εἶ ὁ στεφανῶν ἡμᾶς,
Σὺ καὶ ὁ στέφανος αὐτός. Σὺ ὁ ἐπαγγελλόμενος,
καὶ ἡ ἐπαγγελία Σύ. Σὺ ὁ ἀντιδωρούμενος, Σὺ πέ-
[λεις καὶ τὸ δώρημα.
Σὺ καὶ ὁ ἀθλοθέτης εἶ, Σὺ καὶ τὸ ἆθλον, Κύριε,
[τῆς αἰωνίου χαρμονῆς καὶ τῆς μακαριότητος.
Σὺ οὖν ὁ στεφοδότης ὤν, αὐτὸς σὺ καὶ τὸ στέφος εἶ,
ὁ Κύριός μου καὶ Θεός, καὶ τὸ διάδημα αὐτὸ
τῆς ἀγαθῆς ἐλπίδος μου
τῆς ἐν τῇ δόξῃ καὶ τιμῇ τῆς κοσμουμένης πάντοθεν·
τὸ φέγγος τὸ εὐφραῖνόν με, φῶς τὸ ἀνακαινίζον με
ἡ μόνη μου εὐπρέπεια ἡ μὲ κατακαλλύνουσα,
καὶ ἡ μεγάλη μου ἐλπίς, ἡ ἔφεσις τῶν καρδιῶν
τῶν σῶν ἁγίων καὶ αὐτὸ τὸ ἄκρον ἐφετὸν αὐτοῖς.

Ἡ θέα τοιγαροῦν ἡ σὴ ἐστὶν ἡ ὅλη παρὰ σοῦ
ἀντίδοσις ἡ πρὸς ἡμᾶς, καὶ τὸ βραβεῖόν τε αὐτό,
καὶ ὅλη ἡ χαρὰ ἡμῶν, ἣν προσδοκῶμεν, Κύριε.
Αὕτη γάρ ἐστιν ἡ ζωή, ὡς ἔφης, ἡ αἰώνιος,
ἵνα σὲ τὸν ἀληθινὸν Θεὸν μόνον γινώσκωσι
καὶ ὃν αὐτὸς ἀπέστειλας Κύριον Ἰησοῦν Χριστόν.
Ὁπόταν τοίνυν ἴδωμεν Σὲ τὸν ἀληθινὸν Θεόν,
τὸν μόνον πέλοντα Θεόν, τὸν ζῶντα καὶ τὸν ἰσχυρόν,
τὸν ἀπερίγραπτον Θεὸν τὸν μήποτε ὁρώμενον
καὶ τὸν ἀπερινόητον, καὶ τὸν μονογενῆ Υἱὸν
τὸν ὄντα ὁμοούσιον καὶ συναΐδιον Θεόν,
Κύριον Ἰησοῦν Χριστόν, ὃν εἰς τὸν κόσμον πρὸς ἡμᾶς
ὑπὲρ ἡμῶν ἀπέστειλας εἰς σωτηρίαν τὴν ἡμῶν,
καὶ ἅμα δὲ τὸ συμφυὲς Πνεῦμα τὸ ἁγιώτατον
καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ διατελοῦν ἀχώριστον,
Θεὸν τὸν τρισυπόστατον προσώποις μὲν τριαδικόν,
τῇ φύσει καὶ οὐσίᾳ δὲ μοναδικὸν ὑπάρχοντα,
Ἕνα καὶ μόνον ἅγιον Θεὸν τὸν ἐπουράνιον,
οὗ παρεκτὸς οὐδείς ἐστιν Θεὸς ἐν οὐρανῷ καὶ γῇ·
τότε δὴ ἕξομεν ὃ νῦν ζητοῦμεν ἅπαντες ἡμεῖς,
τὴν ἀτελεύτητον ζωήν, τὴν δόξαν τὴν αἰώνιον,
ἥν περ τοῖς ἀγαπῶσί Σε, φιλάνθρωπε, ἡτοίμασας,
ἥν περ τοῖς φοβουμένοις Σε, φιλάγαθε, ἐφύλαξας
ἥν περ καὶ ἐπιδώσεις Σὺ τοῖς ἐκζητοῦσιν ἐς ἀεὶ
τὸ πρόσωπον σου, Κύριε.

Ἀλλὰ Σὺ Κύριε Θεὲ ὁ πλάσας με ὡς ἀγαθὸς
ἐν μήτρᾳ τῆς ἐμῆς μητρός, ἥτις ἐν τῇ χειρὶ τῇ σῇ



ἐμὲ παρακατέθηκεν, μὴ συγχωρήσῃς δή ποτε
μὲ ἐπὶ πλεῖον ἀφ᾿ ἑνὸς ἐμπερισπᾶσθαι εἰς πολλὰ
ἀλλ᾿ ἀπὸ τῶν ἐκτὸς ἐμοῦ πρὸς ἐμαυτὸν συνάγαγε
καὶ ἀπ᾿ ἐμοῦ αὐτοῦ πρὸς σὲ τὸν ἕνα ἐπανάγαγε,
ἵνα σοι ἡ καρδία μου ἀναφωνῇ ἐνδελεχῶς.
Σὲ μόνον ἐξεζήτησε τὸ πρόσωπόν μου, Κύριε·
τὸ πρόσωπόν σου, Κύριε, ζητήσω, καὶ τὸ πρόσωπον
Κυρίου τῶν δυνάμεων ἐν μόνῳ ᾧ συνέστηκε
ἡ δόξα πᾶσα καὶ τιμὴ τῶν μακαρίων φίλων σου
ἡ μόνη ἀκατάληκτος· ὃ δή που κατοπτεύειν γε
πρόσωπον τὸ θειότατον, ζωή ἐστιν αἰώνιος
καὶ δόξα ἀτελεύτητος τῶν σῶν ἁγίων, Κύριε.

—

Εὐφρανθήτω τοίνυν σφόδρα ἡ καρδία μου, Θεέ μου.
τοῦ φοβεῖσθαι τὸ ὄνομά σου.
«Εὐφρανθήτω ἡ καρδία τῶν τὸν Κύριον ζητούντων»
Εὐφρανθήτω πολλῷ μᾶλλον ἡ καρδία τῶν ἁγίων
ἡ τῶν Σὲ ἐξευρισκόντων. Εἰ γὰρ ἐν τῷ ἐκζητεῖν σε
οὐχὶ περιγίνεταί γε ἡ τυχοῦσα εὐφροσύνη,
ἔν γε τῷ σε ἀνευρίσκειν, ὅση τις ἆρά γε ἔσται;
Τοιγαροῦν διακαῶς νῦν καὶ ἀεὶ ἀδιαλείπτως,
Κύριε, τὸ πρόσωπόν σου καὶ ἐγὼ ἐπιζητήσω,
εἴποτε διανοιχθείη τέως καὶ ἐμοὶ ἡ θύρα,
πύλη τῆς δικαιοσύνης, ὥστε μ᾿ ἐπαξιωθῆναι
εἰσελθεῖν εἰς τοῦ Κυρίου τὴν χαρὰν τὴν αἰωνίαν.
Ἥδ᾿ ἡ πύλη τοῦ Κυρίου εἰσελεύσονται εἰς ταύτην
δίκαιοι καὶ εὐφρανοῦνται.

ΚΕΦΑΛΑΙΟΝ ΛΖ'

Ἱκεσία πρὸς τὴν Παναγίαν Τριάδα.

Ὢ τὰ τρία ὁμότιμα ὄντα
θεῖα πρόσωπ᾿ αἰωνίζοντά τε,
ὁ Θεός μου ἡ ἀλήθειά τε
ὁ Πατήρ, ὁ Υἱὸς καὶ τὸ Πνεῦμα,
Θεὸς ἔχων τὴν ἀθανασίαν,
φῶς οἰκῶν τὸ ἀπρόσιτον μόνος,
ὁ τὴν γῆν λόγῳ θελεμιώσας
καὶ διέπων σοφίᾳ τὸν κόσμον.
Ἅγιος, ἅγιος, ἅγιος καὶ
ὁ Θεὸς Σαβαὼθ ὁ Θεός μου,
ὅς ἐστι φοβερὸς ἰσχυρός τε,
ὁ ὢν δίκαιος καὶ ἐλεήμων
θαυμαστός τε καὶ δεδοξασμένος,
ἡ ἀγάπη ὁ ἠγαπημένος.
ὁ εἷς μόνος Θεὸς τῶν ἁπάντων,
τρία πρόσωπα μία οὐσία,
μία δύναμίς τε καὶ σοφία,
ἀγαθότης τε μία καὶ θεία·
ἀδιαίρετος δὲ Τριὰς μία,
Σὺ διάνοιξον ἐμοὶ τὰς πύλας
τοῦ ἐλέους καὶ δικαιοσύνης
τῷ ἐκ βάθους ψυχῆς κεκραγότι,
ὡς ἐν ταύταις ἐλθὼν ἐκ καρδίας
Τριὰς ἐξομολογήσωμαί σοι.



Ἰδοὺ δή, Δέσποτα Θεέ, ἵσταμαι πρὸ τοῦ Οἴκου σου, οἷα προσαίτης κρούω δὲ τὴν θύραν τοῦ ἐλέους σου· κέλευσον ἀνοιχθῆναί μοι τῷ κρούοντι, σὺ ὁ εἰπών, τοῖς κρούουσ' ἀνοιγήσεται. Κρούουσι γάρ, Πάτερ Θεέ, οἰκτίρμον πολυέλεε, πρὸς τὴν σὴν θύραν κρούουσιν αἱ τῶν περικαρδίων μου ἐφέσεις αἱ πολυπληθεῖς ἅς μοι ἐπωρυόμεναι, καὶ τῶν δακρύων αἱ κραυγαὶ τῶν ὀφθαλμῶν μου, Κύριε. Ἐνώπιόν σου πᾶσα δὲ ἔσθ' ἡ ἐπιθυμία μου, ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη, Κύριε. Μὴ ἀποστρέψῃς τοίνυν Σὺ τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ μὴ ἐκκλίνῃς ἐν ὀργῇ, Θεέ, ἀπὸ τοῦ δούλου σου. Εἰσάκουσόν μου, Κύριε, Εἰσάκουσον δὴ τῆς φωνῆς τοῦ στεναγμοῦ καὶ τοῦ [κλαυθμοῦ τοῦ σοῦ παιδὸς βοῶντός σοι, καὶ ἔκτεινον τὴν χεῖρά [σου, Κύριε, εἰς ἀντίληψιν ἐμὴν τὴν ὑπεράγαθον, ὅπως ἂν ἐξαγάγῃς με ἐκ τῶν ὑδάτων τοῦ βυθοῦ καὶ ἀπὸ τῆς ἰλύος τε καὶ τοῦ πηλοῦ ἐκσπάσῃς με τῆς τόσης ἀθλιότητος, ἵνα μὴ δὴ ἀπόλωμαι, Κύριε, πρὸ τῶν ὀφθαλμῶν τῆς ἄκρας εὐσπλαγχνίας σου καὶ ἔναντι τῶν οἰκτιρμῶν καὶ τῆς φιλανθρωπίας σου τῶν σπλάγχνων τῆς ἀπείρου σου, Κύριε, ἀγαθότητος, ἀλλ' ἵνα διεκφύγω νῦν πρὸς Σὲ τὸν ἀγαθὸν Θεόν, τοῦ μὲ ἰδεῖν τὸν ἄπειρον πλοῦτον τῆς βασιλείας σου, τοῦ μὲ ἀπαύστως θεωρεῖν τὴν ἄφατον τερπνότητα τοῦ φωταυγοῦς προσώπου σου, δοξάζειν τε καὶ ἀνυμνεῖν τὸ ἅγιόν σου ὄνομα. Ναί, Κύριέ μου καὶ Θεέ, Σὺ ὁ ποιῶν θαυμάσια, πλατύνων τὴν καρδίαν μου

εἰς τὸ μεμνῆσθαί σου ἀεί· ὁ τὴν ἐμὴν νεότητα φωτίζων καὶ μὴ παρορῶν τὸ γῆράς μου, φιλάνθρωπε ἀλλὰ ποιῶν μου τὰ ὀστᾶ ἀγαλλιᾶσθαι ἅπαντα, ἀνακαινίζων τε ἐμοῦ ὡς ἀετοῦ τὴν πολιάν.

Ὅτι σοὶ πρέπει, Κύριε, δόξα τε πᾶσα καὶ τιμὴ λατρεία καὶ προσκύνησις, Σοὶ τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, Σοὶ τῇ μιᾷ Θεότητι καὶ βασιλείᾳ τε μιᾷ, μιᾷ δυνάμει, μόνῳ τε ὑπερανάρχῳ ποιητῇ τῶν ὄντων καὶ Δημιουργῷ ὑπερουσίῳ, ἰσχυρῷ, παντοδυνάμῳ, ἀγαθῷ, λατρευομένῳ ἐν Τρισὶ προσώποις, μόνῳ τε Θεῷ. Αἰνεῖται νῦν τε καὶ ἀεὶ καὶ εἰς αἰῶνας ἅπαντας.

Τέλος τῶν μονολογίων τοῦ Ἱεροῦ Αὐγουστίνου.



ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

ΤΟΥ ΑΥΤΟΥ ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΤΟ ΕΓΧΕΙΡΙΔΙΟΝ ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΘΕΩΡΙΑΣ

ΗΤΟΙ

Περὶ τοῦ Θείου Λόγου, δι' οὗ πρὸς οὐράνιον πόθον διεγείροιτ' ἂν ἡ μνήμη, ἡ ἐν νυσταγμῷ ῥᾳθυμίας ὑποκαθεύδουσα.

ΠΡΟΛΟΓΟΣ

Ἐν μέσῳ παγίδων ἀναστρεφόμενος ὁ τῶν ἐπουρανίων πόθος ῥᾷστα διαψυχραίνεναι· καὶ ἀδιαλείπτου τοίνυν φυλακῆς ἡμῖν χρεία, ἵνα τὸν ὕπνον ἀποσειόμενοι, πρὸς Θεὸν συνεχῶς ἀνατρέχοιμεν· ὃς τῶν ἀγαθῶν ἡμῖν ἐστι τὸ ἀληθὲς καὶ ἀκρότατον, ἀφ' οὗ ἀπορρέομεν. Διὸ δὴ οὐ θράσους τινὸς προλήψει, ἐκ πολλῆς δὲ τῆς πρὸς τὸν Θεόν μου ἀγάπης τὴν περὶ τόδε τὸ πονημάτιον σπουδὴν ἀνεθέμην εἰς δόξαν αὐτοῦ· ὅπως ἂν ἐκ τῶν παρὰ τοῖς θεσπεσίοις πατράσι κομψοτέρων λογίων ἐπίτομόν τι καὶ πρόχειρον περὶ τοῦ Θεοῦ μου ῥῆμα ἐς ἀεὶ ἔχοιμι μετ' ἐμοῦ, ὃ δή, ὁσάκις ἂν μοι ὑποχλιαίνεσθαι γένηται, ἀναγινώσκων

πρὸς τὴν ἐκείνου ἐπανεξαπτοίμην ἀγάπησιν Νῦν οὖν πάρεσό μοι, ὁ Θεός μου, ὃν ἐκζητῶ, ὃν ἀγαπῶ, ὃν καὶ καρδίᾳ καὶ στόματι καὶ ὅλῃ, ὅση μοι περίεστι, τῇ δυνάμει ὑμνολογῶν τε καὶ προσκυνῶν αἰνῶ καὶ δοξάζω.

Ἡ ψυχή μου σοὶ καθοσιουμένη καὶ τῆς ἀγάπης τῆς περὶ σὲ ἀναφλεγομένη, ἐν σοὶ ἀναπνέουσα, σοὶ ἐπιχαίνουσα, σὲ μόνον ἰδεῖν ἐπιποθοῦσα, οὐδὲν ἐπίσταται τὸ αὐτὴν κατατέρπον, ἀλλ' ἢ τὸ περὶ σοῦ ἀκούειν, περὶ σοῦ γράφειν, περὶ σοῦ διανοεῖσθαι, τὴν δόξαν τὴν σὴν ἐνδελεχῶς ἐπὶ καρδίας ἀναπολεῖν, ὥστε μοι ἐν ταῖς ἀναριθμήτοις τοῦ βίου ζάλαις ἀναστρεφομένῳ τὴν γλυκεῖάν σου μνήμην καθίστασθαι εἰς ἄνεσιν. Σὲ τοίνυν ἐπικαλοῦμαι τὸν ὑπερπόθητον· πρὸς σὲ κράζω ἐξ ὅλης μου τῆς καρδίας μεγάλῃ κραυγῇ Ἐπειδὰν δὲ σὲ οὕτως ἐπικαλοῦμαι, εἰς ἐμὲ αὐτὸν δήπου τυγχάνω ἀνακαλούμενος. Οὐδὲ γὰρ ἂν ἦν ὅλως ἐγώ, ἢν μὴ αὐτὸς ἦς μετ' ἐμοῦ· μετ' ἐμοῦ δὲ σὺ εἶ, ὅτε ἐν ἐμοὶ μένεις ἡ μνήμη ἡ ἐμή. Ἐκ ταύτης σὲ ἔγνων καὶ ἐν αὐτῇ σὲ εὑρίσκω, ὁσάκις ἂν σου ἐπιμνησθήσωμαι, καὶ ἐν σοὶ ἐντρυφῶ ἐξ οὗ τὰ πάντα, δι' οὗ τὰ πάντα, καὶ ἐν ᾧ τὰ πάντα.

ΚΕΦΑΛΑΙΟΝ Α'.

Περὶ τῆς ὑπερουσίου θείας Οὐσίας.

Σύ, Κύριε, τὸν Οὐρανὸν πληροῖς καὶ ἅπασαν τὴν γῆν,
φέρων ἀφόρτως ἅπαντα, ἀπερισχέτως δ' ἐμπιμπλῶν·
ἀεὶ ἐν πᾶσιν ἐνεργῶν, ἀεὶ δὲ αὖθις ἠρεμῶν·
συνάγων, μὴ ὢν ἐνδεής· ζητῶν, μηδόλως ἀμοιρῶν·
καὶ ἀσαλῶς τε ἀγαπῶν, ἀζηλοτύπως δὲ ζηλῶν·
καὶ μεταμέλει μὲν ἐν σοί, ἀλλὰ ἀνίας ἄνευθεν.
Ὀργίζει καὶ γαληνιᾷς· ἔργον ἀμείβεις ἀγαθῶς,
ἀλλ' οὐκ ἀμείβεις πλὴν βουλήν. Δέχει ὅπερ εὑρί-
[σκεις Σὺ
καὶ οὔποτε ἀπέβαλες· οὐδέ ποτε εἶ ἐνδεὴς
καὶ χαίρεις μὴν ἐν κέρδεσιν· οὐδέ ποτε πλεονεκτεῖς
καὶ τόκους μὴν προσαπαιτεῖς· καὶ ὑπερεπιχορηγεῖς,
ᾧ οὐκ ὀφείλεις, δαψιλῶς· ἢ σοὶ προσεπιδίδοται,
ἵν' ἐποφείλῃς σὺ ἀεί.
Τίς γάρ τι κέκτηταί ποτε ὅπερ οὐκ ἔστιν ἐκ τῶν σῶν;
ἐκτίνεις χρέα ὀφειλετῶν, μηδὲν ὀφείλων μηδενί·
χαρίζεις χρέα πάντοτε, μηδὲν μηδέποτ' ἀπολλύς.
Ἁπανταχοῦ Σὺ εἶ παρὼν καὶ ὅλος εἶ ἁπανταχοῦ.
Γνωστὸς μὲν εἶ, ἀλλ' οὔποτε τινὶ ἐγένου ὁρατός·
καὶ μηδαμόθεν δὲ ἀπών, ὅμως ἀπὸ τῶν λογισμῶν
τῶν παρανόμων ἀσεβῶν ἀπέχεις πόρρω πάντοτε,
ὁ μηδ' ἐκεῖθεν πολὺ ἀφὲ ἀπέχων, ὅθεν ἕστηκας·
ἔνθα γὰρ ἂν μὴ χάριτι, τῇ ἐκδικήσει πάρει σὺ
παρὼν ἑκασταχοῦ ὁ ὢν μόλις δέ πως δυνάμενος

ἀνευρηθῆν᾽ ὑπό τινος· ὅνπερ ἑστῶτα σπεύδομεν
διώκοντες καταλαβεῖν· ἀλλ᾽ οὔποτε ἰσχύομεν
ὁ πάντα τῇ χειρὶ κρατῶν καὶ ἅπαντα αὐτὸς πληρῶν
καὶ περιέχων ἅπαντα καὶ ὑπερέχων ἅπαντα,
συνέχων δὲ τὰ ἅπαντα.
Ὁ Θεὸς ὁ ἐκδιδάσκων τὰς ψυχὰς τῶν πιστευόντων
ἄνευ ψόφου καὶ ῥημάτων καὶ ἠχήσεως καὶ φθόγγου·
ὁ μὴ τόποις μηδὲ χρόνοις ἐκτεινόμενος μηδόλως
μηδὲ ποικιλλόμενός πως· ὁ μὴ ἔχων προσελεύσεις,
μηδὲ ἀπελεύσεις ἔχων (ᾧ οὐκ ἔστι προσιέναι, καὶ οὐχ [οἷόν τ᾽ ἀπιέναι).
Ὁ φῶς οἰκῶν ἀπρόσιτον, ὃ οὐχ ἑώρακέ ποτε
οὐδεὶς ἀνθρώπων, οὐδ᾽ ἰδεῖν τοῖς ὀφθαλμοῖς οἷός [τ᾽ ἐστίν.
ἐν σεαυτῷ ἀεὶ τελῶν ἀκίνητος καὶ ἤρεμος
περιπορεύει πάντοτε· οὐ γὰρ οὐδὲ τμηθῆναί τε
οἷος τε εἶ, ὡς ἄτμητος, οὐδὲ διαιρεθῆναί τε,
καθότι εἷς εἶ ἀληθῶς, οὐδ᾽ ἂν εἰς μέρη γένοιο·
ἀλλ᾽ ὅλος ὅλον συγκρατεῖς, τὸ ὅλον δὲ αὐτὸς πληροῖς,
τὸ ὅλον καταλάμπεις Σύ, καὶ ὅλον ἔχεις ἐν σαυτῷ.


ΚΕΦΑΛΑΙΟΝ Β΄.

Περὶ τῆς ἀνερμηνεύτου θείας γνώσεως.

*Καὶ ἂν ὁ κόσμος ἐμπλησθῇ βιβλίων ἑρμηνευτικῶν,
οὐ διερμηνευθήσεται ἡ σὴ σοφία, ὁ Θεός,
ἡ ὅλως ἀνερμήνευτος. Καὶ γὰρ ὑπάρχων ἄφραστος,*

ὑπάρχεις ἀπερίγραπτος, ὅλως ἀπερινόητος,
ἡ θεία τοῦ φωτὸς πηγή, τῆς ἀιδίου αἴγλης τε
ὁ Ἥλιος ὁ νοητός. Μέγας ἄνευ ποσότητος,
διὸ ἀκαταμέτρητος, εἶ ἀγαθὸς ἄνευ τινος
ποιότητος, οἷα Θεός, διὸ καὶ ἄκρως ἀγαθὸς
ὄντος ὑπάρχεις ἀληθῶς, οὐδ᾽ ἔστι δέ τις ἀγαθός,
εἰ μὴ σὺ μόνος ὁ Θεός, οὗ περ ἡ μέν τοι θέλησις
ἐστὶ τὸ θέλειν σταθερῶς, τὸ θέλειν δ᾽ ἔστι δύνασθαι.
Ὃς ἅπαντα, ὅσα βουλῇ παρήγαγες ὡς δυνατός,
μὴ ὄντα ἐκ τοῦ μηδενὸς θελήσας σὺ ἐποίησας·
ὅστις τὴν κτίσιν ἅπασαν ἀνενδεῶς δὴ κέκτησαι
ἀπόνως διακυβερνᾷς, εὐθύνεις δ᾽ ἀνενόχλητος
εἰς ἕν τι τέλος ἔλλογον· καὶ οὐ ταράξει πώποτε
τὴν τάξιν τὴν τοῦ κράτους σου οὔτ᾽ ἐν τοῖς ἄνω, Κύριε,
οὔτ᾽ ἐν τοῖς κάτω πως οὐδέν.

Ὅστις ὑπάρχεις ἐν παντὶ τόπῳ, ὁ τόπου ἄνευθεν·
ὃς περιέχεις ἅπαντα, περιοχῆς ὢν ἄνευθεν·
ὃς πάρει ὅλος πανταχοῦ, ἄνευ τελῶν κινήσεως
καὶ ἄνευ πέλων θέσεως. Ὃς οὐ παραίτιος κακοῦ,
ὃ δρᾶν οὔποτε δύνασαι·
ὃς οὐδὲν οὐχὶ δύνασαι καὶ δράσας τι οὐδέποτε
μετέγνως διὰ τὸ πραχθέν. Οὗ τινος μὲν ὑπέστημεν
ἡμεῖς τῇ ἀγαθότητι, τῇ δὲ δικαιοσύνῃ αὖ
τὰς τίσεις ἀποτίννυμεν καὶ τῷ πολλῷ ἐλέει δὲ
φθορᾶς ἀπολυτρούμεθα· ἡ παντοδυναμία οὗ
τὰ πάντα διακυβερνᾷ καὶ διεξάγει, συμπληροῖ
ὅσα περ ἔκτισεν αὐτός. Οὐδὲ οὖν οὕτω σέ φαμεν



τὰ πάντα συμπληροῦν αὐτόν, ὥστε δῆθεν καὶ ὑπ' αὐτῶν
σὲ περιέχεσθαι αὐτὸν τὸν περιέχοντα αὐτά·
οὐδὲ μὲν οὖν σε ἕκαστα τὸ κατὰ μέρος ἐμπληροῦν
οὕτω ἡγεῖσθαι δέον πως, ὥσθ' ἕκαστον χωροῦν κατὰ
τὸ μέγεθος τὸ ἴδιον μερίδα τε τὴν ἀπὸ σοῦ
περιλαμβάνειν, Κύριε· τουτέστι, τὸ μὲν μεῖζον ὂν
περιλαμβάνειν μείζονα, τὸ δ' ἔλαττον ἐλάσσονα·
αὐτὸς γὰρ δὴ τὰ μάλιστα ὑπάρχεις ὅλος ἐν παντὶ
καὶ ἅπαντα ἐστὶν ἐν σοί, ἡ παντοκρατορία οὗ
ἐμπεριέχει ἅπαντα, οὐδὲν δ' οὐ μὴ δυνήσεται
πόρον τινὰ ποτ' ἐξευρεῖν, ὡς ἀποδρᾶναι, Κύριε,
τῆς θείας σου δυνάμεως· ὅς γὰρ ἂν περ μὴ ἔχῃ Σε
ἵλεων τὸν φιλάγαθον, οὐδόλως, ὀργισθέντος Σου,
τῆς σῆς ὀργῆς ἐκφεύξεται.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Περὶ πόθου ψυχῆς τῆς Θεοῦ συνεπαισθανομένης.

Σὲ τοίνυν, παντευλόγητε καὶ πανοικτίρμον Κύριε,
ἐπικαλοῦμαι ἐπὶ τῆς ψυχῆς ἐμῆς τῆς ταπεινῆς,
ἣν πρὸς ὑποδοχὴν τὴν σὴν διὰ του θείου πόθου σου
παρασκευάζεις σὺ αὐτός, ὅνπερ Σὺ ἐν αὐτῇ ἐμπνεῖς.
Εἴσελθε δή, σοῦ δέομαι, καὶ σεαυτῷ ἐνάρμοσον
οὕτως, ὥστε κεκτῆσθαί Σε, ἣν κτίσας ἐπανέκτισας,
ἵν' ἔχοιμί σε οἷόν περ σφραγῖδα ἐν καρδίᾳ μου!

Μὴ τὸν ἐπικαλούμενον ἐγκαταλίποις, δέομαι,
Κύριε, πολυέλεε, ἐπείπερ πρὶν ἢ Σὲ ἐγὼ
θεὲ ἐπικαλέσωμαι, αὐτὸς προσεκαλέσω με
καὶ ᾔτησας, ἵνα ἐγὼ ὁ δοῦλος ἐκζητήσω σε
καὶ εὕρω ἐκζητήσας σε, εὑρὼν δὲ ἀγαπήσω σε.
Σὲ ἐξεζήτησα, Θεέ, καὶ ἐκζητήσας εὗρόν σε
καὶ ἀγαπῶν Σε ἐπιποθῶ. ἐπαύξησον τὸν ἐν ἐμοὶ
πόθον τοῦ Σὲ ἐπιζητεῖν, καὶ δὸς ὅπερ αἰτοῦμαί σε.
Καὶ ἂν γὰρ ἅπαντά μοι δῷς, ὅσα καλὰ ἐποίησας,
οὐκ ἐξαρκεῖ μοι Κύριε τῷ δούλῳ σου τὰ ταπεινῷ
ἐὰν μὴ σεαυτόν μοι δῷς. Δός μοι σαυτὸν τοίνυν, Θεέ,
σαυτόν, Θεέ, ἀπόδος μοι. Ἠνὶ ἐγὼ δέ Σε φιλῶ,
καὶ εἰ σμικρὸν τοῦτό ἐστιν, ἔτι ἐρρωμενέστερον
ἐγὼ προσαγαπήσαιμι. Τῷ σῷ γὰρ ἔρωτι ἐγώ,
Λόγε Θεοῦ, συνέχομαι, ἐμπυρπολοῦμαι δὲ τῷ σῷ
πόθῳ καὶ ἐνευφραίνομαι τῇ μνήμῃ σου τῇ γλυκερᾷ.

Ἰδοὺ γάρ, Λόγε τοῦ Θεοῦ, ἐν ᾧ ἐπιστενάζει σοι
ἡ τεθλιμμένη μου ψυχή, καὶ τῷ ἐλέει τῷ πολλῷ
τῷ ἀνεκδιηγήτῳ σου ἐμμελετᾷ διὰ παντός,
αὐτὸ τουτὶ τὸ τῆς σαρκὸς φορτίον ἧττόν μοι βαρεῖ·
ὁ θροῦς δὲ αὖ τῶν λογισμῶν ἀνακοπάζει, ἠρεμεῖ.
τὸ τῆς θνητότητός μου δὲ τῶν ἄλλων τε μου συνεχῶν
ἀθλιοτήτων μου πολλῶν τὸ ἄχθος, οὐχ ὡς πρότερον
εἰώθει, ἀπαμβλύνει με. Ἀθρόα πάντα γὰρ σιγᾷ
καὶ πάντα μοι γαληνιᾷ, ἐφήδεταί μου ἡ ψυχή,
καίεται δ' ἡ καρδία μου καὶ ἐνακμάζει ἡ μνήμη μου,
αὐγάζεται ἡ διάνοια, τὸ πνεῦμα δὲ τὸ ἐν ἐμοὶ

τῷ πόθῳ ἐξαπτόμενον τῆς θέας, Κύριε, τῆς σῆς
δοκεῖ μοι ἀναρπάζεσθαι εἰς τὴν ἀγάπην τῶν ἐν σοὶ
ἀΰλων ἀοράτων τε.
Τὸ Πνεῦμα δ' ἀναλάβοι μοι τὰς πτέρυγας περιστερᾶς
καὶ πετασθείη ἐλαφρὸν καὶ μὴ ἐκλίποι ὁ θεὸς
καὶ ἄχρι γε τοῦ Οἴκου σου τῆς θείας εὐπρεπείας σου
τοῦ θρόνου τε τῆς δόξης σου· κἀκεῖ, ἔνθ' ἐμφοροῦν-
[ται δὲ
οἱ δῆμοι οἱ Οὐράνιοι τραπέζης τῆς πνευματικῆς,
ἀπὸ τῶν κεκρυμμένων σου διεκτραφείη, Κύριε,
ἐν τόπῳ χλόης ζωηρᾶς παρὰ τὰ ῥεῖθρα δὴ τὰ σὰ
τὰ ὑπερδαψιλέστατα ἀπαύστως ποιμαινόμενον.
Σύ μοι γενοῦ, πανάγαθε, ἐμὸν τὸ ἀγαλλίαμα,
ὃς εἶ καὶ ἡ ἐμὴ ἐλπίς, ὃς εἶ ἡ σωτηρία μου,
ἡ μόνη ἀπολύτρωσις. Σὺ ἡ χαρά μου εἶ, Θεέ,
Σὺ ἔσει καὶ τὸ γέρας μου. Σὲ ἡ ψυχή μου, Κύριε,
ἐπιζητεῖ διὰ παντός, καὶ Σὺ δὴ ποίησον αὐτήν,
ὅπως ἂν μὴ μηδέποτε ἐκλίποι ἐκζητοῦσά Σε.


ΚΕΦΑΛΑΙΟΝ Δ'

Περὶ ἀθλιότητος ψυχῆς τῆς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν μὴ ἀγαπώσης, μηδ' ἐκζητούσης.

Οὐαὶ ψυχῇ τῇ ἀθλίᾳ τῇ μὴ Χριστὸν ἐκζητούσῃ,
μηδὲ αὐτὸν ἀγαπώσῃ, ἣ ἀναστρέφεται μόνη

ἐλεεινὴ καὶ αὐχμῶσα. Ἀπόλλυσιν ὅ, καὶ ζῇ φεῦ,
ὁ μὴ φιλῶν ὁλοψύχως Θεὸν τὸν ἀγαθοδότην·
ᾧ περ ἂν μὴ ὅλως μέλοι, ὦ Κύριε, διὰ Σὲ ζῆν,
οὐδέν ἐστιν ὅλως οὗτος, κατεξουδένωται δ' ὅλως·
ὁ ἐν σοὶ ζῆν οὐκ ἀλέγων, οὑτοσὶ τέθνηκεν ἤδη·
ὁ μὴ φρονῶν σοί, μωραίνει. Σοὶ ἄρ' ἐγὼ ὁ Θεός μου
ἐμὲ αὐτὸν ὁλοψύχως συνίστημι, δίδωμί τε,
παραχωρῶ καὶ προσάγω Σοὶ τῷ δι' οὗ ἐγενόμην
καὶ ζῶ, φρονῶ καὶ ὑπάρχω.
Σοὶ τὴν ἐλπίδα μου πᾶσαν ἀνατιθεὶς ἀναμένω,
καὶ σοὶ θαρρῶ, πέποιθά τε, δι' οὗ καὶ ἀνεγερθείην
καὶ ζήσαιμι καὶ γενοίμην, Θεέ μου, ἐν ἀναπαύσει.
Σὲ καὶ ποθῶ καὶ λατρεύω καὶ ἀγαπῶ ὁλοψύχως,
σὺν ᾧ καὶ ζῆσαι ἐλπίζω, καὶ βασιλεῦσαι ἐν δόξῃ,
μακάριος ἔσομαί τε. Ψυχὴ ἡ μὴ σὲ φιλοῦσα
τὸν κόσμον ἐστὶ φιλοῦσα, δουλεύουσα ἁμαρτίαις,
ἐμπίπτουσα μοχθηρίαις, οὐδέποτε ἠρεμοῦσα,
οὐδὲ διάγουσα ὅλως ἐν ἀσφαλείᾳ παράπαν.
Σοί, Δέσποτα, δουλευέτω ἀεὶ ἡ διάνοιά μου,
ἀεὶ ἐπιστεναζέτω πρὸς Σὲ ἡ παροίκησίς μου,
καὶ ὅλη μου πυρπολείσθω ἡ Σὲ φιλοῦσα καρδία
ἐν τῇ πρὸς Σέ μου ἀγάπῃ.

Ἀναπαυθήτω δὴ ἐν σοί, Θεέ μου, ἡ ἐμὴ ψυχή,
περινοείτω σε ἀεὶ ἐν διανοίᾳ καθαρᾷ,
ἐκστάσει ἐν διενεκεῖ· τὰς σὰς δὲ ψάλλοιμι ἀεὶ
ὑμνολογίας, Κύριε, ἐν εὐφροσύνῃ καὶ χαρᾷ
ἀγαλλιάσει τε πολλῇ. Παραμυθία αὕτη μοι



εἴη καὶ ἐπανάπαυσις ἐν τῇ ὑπερορίᾳ μου.
Καταφευγέτω μου ὁ νοῦς ὑπὸ τῇ σκέπῃ ἐς ἀεί,
Κύριε, τῶν πτερύγων σου ἀπὸ τοῦ τῶν ἀνομιῶν κοι-
[νοῦ ἐνδιαιτήματος
τοῦ νῦν αἰῶνος τουτουΐ.
Ὢ κοπασάτω δὴ ἐν σοί, Θεέ μου, ἡ καρδία μου,
ναὶ αὕτη ἡ καρδία μου αὐτὸ τὸ πολυκύμαντον
καὶ μέγα ὄντως πέλαγος.
Ὦ τῶν ὑπερκοσμίων Σὺ ἁπάντων τε τῶν ἀγαθῶν
ὁ ὢν ἀπειροπλούσιος καὶ ἑστιάτωρ Κύριος,
θρέψον μ' ἀπαγορεύσαντα, σύλλεξον σκορπισθέντα με
καὶ αἰχμαλωτισθέντα με λύτρωσον, πολυέλεε,
ὅλον διασπασθέντα δὲ Αὐτός με ὁλοκλήρωσον.
Ἰδοὺ ἐπὶ τῆς θύρας σου κρούω σοι νῦν παρεστηκώς,
ἐλέησον με, ὁ Θεός, κατὰ τὸ ἔλεος τὸ σὸν
τὸ ἄπειρον, φιλάνθρωπε,
κατὰ τὸ πλῆθος τε τῶν σῶν τῶν ἀμετρήτων οἰκτιρμῶν
ἐν οἷς ἡμᾶς ἀνατολὴ ἐξ ὕψους ἐπεσκέψω Σύ.
Κέλευσον ἀνοιχθῆναί μοι κρούοντι τῷ ἐλεεινῷ,
ὡς ἐλευθέρως ἂν πρὸς σὲ εἰσέλθοι ὁ οἰκέτης σου,
ἀναπαυθείη τε ἐν σοί, καὶ μετασχὼν τοῦ ἄρτου σου
τοῦ Οὐρανίου, Κύριε, ἐπιρρωσθείη τέλεον.
Σὺ γὰρ ὁ ἄρτος εἶ, Χριστέ, καὶ ἡ πηγὴ εἶ τῆς ζωῆς·
Σὺ τοῦ προαιωνίου εἶ ἀχρόνου ἀπαυγάσματος τὸ
[φάος τὸ ἀίδιον·
Σὺ εἶ τὰ πάντα, Κύριε, ἐξ ὧν οἱ ἀγαπῶντές Σε ζῶ-
[σιν ὀρθῶς ἀεὶ ἐν Σοί.

ΚΕΦΑΛΑΙΟΝ Ε'.

Πόθος ψυχῆς.

Θεέ μου, τοῖς ὁρῶσί Σε ὑπάρχων φῶς τῶν καρδιῶν,
καὶ τοῖς ἐρῶσιν ἡ ζωὴ ὑπάρχων τῶν ψυχῶν αὐτῶν,
τοῖς ἐκζητοῦσί Σε δὲ ὢν δύναμις τῶν διανοιῶν,
δός μοι τῷ σῷ ἐμφύεσθαι ἁγιωτάτῳ ἔρωτι !
Ἐλθέ, ἐπικαλοῦμαι Σε, Θεέ, εἰς τὴν καρδίαν μου
καὶ ἀπὸ τῆς πιότητος τῆς σῆς τρυφῆς με μέθυσον,
ὥστε ἐπιλαθέσθαί με τῶν ἐπικαίρων τουτωνί.
Ἀσχάλλειν ἔπεισί μοι δὲ καὶ ἐπαλύειν, ὁ θεός,
καὶ δὴ καὶ καταισχύνεσθαι παθαινομένῳ ὑπ' αὐτῶν,
οἷά περ ἀπεργάζεται ὁ κόσμος οὗτος πάντοτε·
ἀνιαρόν μοι γίνεται πᾶν ὅ,τι ἂν πυνθάνωμαι
περὶ ματαίου πράγματος μή ποτε παραμένοντος.
Βοήθησόν με, Κύριε, ὁ ποιητής μου καὶ Θεός,
ἐλθέ, ὅπως ἂν ἴδω Σε, καὶ εὔφρανον, σοῦ δέομαι,
Κύριε, τὴν καρδίαν μου. Ἀλλὰ στενοχωρής ἐστιν
ὁ οἶκός μου ὁ τῆς ψυχῆς· ἀλλὰ ἂν ἔλθῃς πρός με Σύ,
ὁ οἶκος πλατυνθήσεται. Ἀλλὰ σαθρὸς ὁ οἶκός μου
ὑπάρχει καὶ ἐρείψιμος· ἀλλὰ ἐπανασκεύασον
αὐτὸν ὡς παντοδύναμος Πλεῖστα μέν ἐστιν ἐν αὐτῷ,
Θεέ μου, τὰ προσκρούοντα τοῖς σοῖς ἁγίοις ὀφθαλμοῖς,
ὁμολογῶ, ἐπίσταμαι, ἀλλὰ τίς ἕτερος πλὴν σοῦ
αὐτὸν ἀποκαθαριεῖ ἢ καὶ πρὸς τίνα ἕτερον
σοῦ πλὴν κεκράξομαι ἐγώ ; Σύ, Κύριε, καθάρισον

με ἀπὸ τῶν κρυφίων μου καὶ ἀπὸ ἀλλοτρίων δέ,
Σὺ φεῖσαί μου τοῦ δούλου σου.
Ποίησόν με, ὁ Θεός μου, Ἰησοῦ γλυκύτατέ μου,
ὑπεράγαθε Χριστέ μου, ποίησον ἀντιβολῶ Σε
διὰ τῆς πρὸς Σὲ ἀγάπης καὶ τοῦ περὶ Σέ μου πόθου
τὸ φορτίον ὅπες φέρω τὸ τῶν ἐπιθυμιῶν μου
τῆς σαρκὸς καὶ τῶν γηίνων ἀπρεπῶν ὀρέξεών μου
ἀποσείσασθαι τελείως.
Ἐν ἐμοὶ κυριευσάτω τῆς σαρκός μου ἡ ψυχή μου,
τῆς ψυχῆς μου δὲ ὁ λόγος, καὶ τοῦ λόγου δὲ ἡ χάρις,
καὶ τῷ σῷ θελήματί με ἔσωθέν τε ἔξωθέν τε
καθυπάγαγε, ὡς οἶδας.
Δώρησαί μοι, ἵνα πόθῳ χείλεσί τε καὶ καρδίᾳ
τοῖς ὀστέοις μου τε πᾶσιν ἀνυμνῶ Σε καὶ δοξάζω.
Πλάτυνον τὸν νοῦν μου, Λόγε, ὕψωσόν μου τῆς [καρδίας
τὸ ἐποπτικόν, ἱκνοῦμαι, ὅπως ἂν τῆς σῆς σοφίας
τῆς προαιωνίου, Λόγε, τῆς δι᾿ ὅλων τῶν κτισμάτων
ἀιδίως διηκούσης ἐν διανοήματι γοῦν
ἁρπαλέῳ ἵκοιτο ἄν.
Λῦσόν με, σὲ ἱκετεύω, ἀπὸ τῶν δεσμῶν ἃ ἔχω,
οἷς συνεσφιγμένοις πέλω καὶ συνέχομαι μεγάλως,
ἵνα τέλος ταῦτα πάντα παρωσάμενος ὡς τέλους
Σοὶ δουλεύοιμι, σοὶ μόνῳ εἴην προσκολλώμενός τε
Σοὶ προσέχοιμί τε μόνῳ.

ΚΕΦΑΛΑΙΟΝ ΣΤ΄.

Περὶ Εὐδαιμονίας ψυχῆς τῆς ἐκ τῆς γηίνης φυλακῆς ἀπολυθείσης.

Ὡς μακαρία ἡ ψυχὴ ἡ τῆς γηΐνης φυλακῆς
ἀπολυθεῖσα καὶ ταχὺ πρὸς τὰς ἁψῖδας τ᾿ Οὐρανοῦ
προσαναβῆναι σπεύδουσα· ἡ τὸν γλυκύτατον Θεὸν
ἀπαύστως κατοπτεύουσα ἑστῶσα κατὰ πρόσωπον·
ἡ μηδεμίαν πτόησιν θανάτου διεπτόηται,
ἀλλὰ ἐν οἴκῳ τοῦ Θεοῦ ἐν ἀφθαρσίᾳ μένουσα
ἐπαπολαύει τῆς τρυφῆς τῆς ἐν τῇ δόξῃ τοῦ Θεοῦ,
ἐν αἰωνίᾳ τῇ χαρᾷ.
Γαλήνιος καὶ ἔμπεδος γοῦν ἡ τοιαύτη δὴ ψυχὴ
ἤδη λαμπρῶς καθέστηκεν, οὔτε δ᾿ ἐχθρόν τινά ποτε,
ἀλλ᾿ οὔτε θάνατόν ποτε εἰς τὸν αἰῶνα δέδοικε.
Σὲ ἔχει γάρ, τὸν ἑαυτῆς Δεσπότην τὸν πανάγαθον,
ὃν πάλαι ἐξεζήτησε καὶ ὃν ἀεὶ ἠγάπησε·
συμπαραμένει δὲ ἀεὶ ταῖς ὑμνολόγοις τάξεσιν
ᾄσματα τὰ μελίρροα τῆς θείας πανηγύρεως
τὰ πρὸς τὴν αἴνεσιν τῆς σῆς ἁγίας δόξης μέλπουσα,
Παμβασιλεῦ πανάγαθε Κύριε Ἰησοῦ Χριστέ,
εἰς τοὺς αἰῶνας ἅπαντας. Καὶ γὰρ ἐκ τῆς πιότητος
τοῦ οἴκου σου τρυφήσασα εἰς ἄκρον μεθυσθήσεται,
καὶ τὸν χειμάρρουν τῆς τρυφῆς Σὺ ποτιεῖς, Χριστέ, [αὐτήν.
Ὡς ἀληθῶς μακάριος ἐκεῖνος ὁ τῶν πολιτῶν
τῶν Οὐρανίων ὅμιλος, τελεία δὲ καὶ ἔνδοξος

τελεῖ καὶ ἡ πανήγυρις τῶν ἀπὸ τῆς δε τῆς ζωῆς τῆς
[παροικήσεως ἡμῶν,
τῶν τόσων ταλαιπωριῶν καὶ ὀδυνῶν καὶ στεναγμῶν,
μεθισταμένων ἐν χαρᾷ ἐπί γε τὴν τερπνότητα
τῆς ὡραιότητος τῆς σῆς καὶ ἐπὶ τὴν εὐπρέπειαν,
ἐφ' ὅλην τε τὴν καλλονὴν τῆς θειοτάτης αἴγλης σου.
Ἐκεῖσε, Δέσποτα Χριστέ, σὲ ὄψονται διηνεκῶς
οἱ παρὰ σοὶ ἐπὶ τῆς γῆς πολιτευσάμενοι καλῶς·
οὐδὲν ἐκεῖ ἀκούεται τὸ τὴν διάνοιαν αὐτοῖς
ταράξαι πῶς δυνάμενον.
Οἷα δὴ ἔστιν ᾄσματα, καὶ οἷα δὴ τὰ μουσικὰ
ὄργανα, οἷαι αἱ μολπαί, αἱ ψαλτῳδίαι οἷαί τε
αἱ ἄνευ πέρατός τινος, αἵπερ ἐκεῖ προσᾴδονται!
Ἠχεῖ ἀπαύστως γὰρ ἐκεῖ μελιηδέα ὄργανα
τῶν θείων ὑμνολογιῶν, αἱ τῶν Ἀγγέλων ἥδισται
μολπαὶ καὶ τὰ θαυμάσια τὰ τῶν ᾀσμάτων ᾄσματα,
τὰ θεῖα καὶ ἐξαίσια τὰ διᾳσματιζόμενα
ὑπὸ τῶν ἐν τοῖς Οὐρανοῖς διαιτωμένων πολιτῶν
εἰς δόξαν σὴν ὑπὲρ τῆς ἧς χάριτος ἠξιώθησαν.
Πικρία πᾶσα τε χολῆς δριμύτης πόρρω ἔφυγεν
ἀπὸ τῆς βασιλείας σου τῆς χώρας τῶν ἁγίων σου.
Ἐκεῖ οὐκ ἔστι πονηρὸς οὐδὲ καὶ πονηρία τις.
οὐκ ἔστι τις ἀντίμαχος, οὐκ ἔστι τις πολέμιος,
οὐδὲ πρὸς ἁμαρτίαν τι κινοῦν ὑπάρχει θέλγητρον.
Οὐκ ἔστιν ἔνδεια ἐκεῖ, οὐδ' ἔστι τις δυσπρέπεια,
οὔ τις ἐρίθειά ἐστιν, οὐ λοιδορία τίς ἐστιν,
οὐδὲ ἀντιλογία τις, δέος οὐδέν, οὐ τάραχος
οὔ τις ποινή ἐστιν ἐκεῖ, οὐδ' ἔστι τις ὑπόνοια,

οὐδέ τις παραβιασμός, οὐδὲ διχοφροσύνη τις,
ἀλλὰ εἰρήνη διαρκὴς καὶ ἀκροτάτ' ἐστὶν ἐκεῖ,
ἀγάπη πληρεστάτη δὲ καὶ ἀγαλλίασις πολλὴ
καὶ αἰωνία αἴνεσις τοῦ ποιητοῦ ἡμῶν θεοῦ.
καὶ ἀδιάλειπτός ἐστιν ἐν ἀσφαλείᾳ ἀνάπαυσις
καὶ ἐν ἁγίῳ πνεύματι χαρὰ μὴ πέρας ἔχουσα.


—

Ὢ ὡς εὐδαίμων ἔσομαι, ἐὰν ἀκούσωμαι κἀγὼ
τὰς τῶν Οὐρανοπολιτῶν ὑμνολογίας θαυμαστάς,
τὰς γλυκυτάτας τε ᾠδάς, τὰς ᾀσματολογίας τε,
τὰ ἔπη τὰ μελλίρροα, δι' ὧν τὸν ὀφειλόμενον
ὕμνον ἀποδιδόασι τῷ μόνῳ ἀγαθῷ θεῷ.
Ἀλλ' ἔτι δὴ καὶ μάλα γε εὐδαιμονέστατος ἐγώ,
ἐὰν κἀγὼ ἀξιωθῶ προσᾆσαι τῷ Κυρίῳ μου
Σωτῆρι Ἰησοῦ Χριστῷ τὴν αἴνεσιν ἐκ τῶν ᾠδῶν
τῶν ἡδυτάτων τῆς Σιών.

ΚΕΦΑΛΑΙΟΝ Ζ'

Περὶ τῆς ἐν τῷ Παραδείσῳ τέρψεως.

Ὢ βίου τοῦ βιωσίμου καὶ βίου τοῦ αἰωνίου
καὶ μάκαρος αἰωνίως, οὗ τέρψις ἄνευ ἀνίας
καὶ ἄνεσις ἄνευ κόπου, ἀξίωμα πλὴν ταράχου,
ἀποβολῆς ἄνευ πλοῦτος, καὶ ῥῶσις δὲ ἄνευ νόσου,
περιουσία τελεία, ἐλλείψεως οὖσα ἄνευ·



ζωή τε λήξεως ἄνευ, ἀιδιότης τε ἄνευ
φθορᾶς τινος τῆς οὐσίας καὶ εὐκληρία τε ἄνευ
οὐδεμιᾶς δυσποτμίας. Ἔνθ' ἐν ἀγάπῃ τελείᾳ
πᾶν ἀγαθὸν διαμένει, ἔνθα πρὸς πρόσωπον ἔστιν
καὶ εἶδος καὶ κατοπτεία ἐν τῷ τοῦ ὄντος προσώπῳ,
ἔνθα ἡ εἴδησις πλήρης ἐν ἅπασι κατὰ πάντα,
ἔνθα τε ἡ ἀκροτάτη Θεοῦ ὁρᾶτ' ἀγαθότης,
καὶ τὸ φωτίζον τὰ πάντα φῶς θεῖον δοξολογεῖται
ὑπὸ τῶν πάντων ἁγίων. Ἔνθα παροῦσά τε οὖσα
ἡ θεία μεγαλωσύνη προσβλέπεται ἐλευθέρως·
ὑπό τε δὲ τῆς τοιᾶς δε τροφῆς τῆς ζωοπαρόχου
ὁ νοῦς κορέννυται ὅλος τῶν θείων καθορωμένων·
ἀδιαλείπτως ὁρῶσιν, ἐφίενται καθορᾶν δέ,
ἀλλ' ἄνευ ἀδημονίας· κορέννυνται πλὴν ἀλλ' ὅμως
χωρὶς τινὸς ἀηδίας.

—

Ἔνθα ὁ τῆς ἀληθείας εὐφραίνει ἥλιος πάντας
τῇ θέᾳ τῇ ἐξαισίῳ τῆς καλλονῆς τῆς ἀφθίτου
καὶ ζωπυροῖ ἀιδίως, καὶ τοὺς τῆς ἐπουρανίου
πατρίδος οἰκήτοράς τε αὐγάζει σύμπαντας οὕτως,
ὥστε καὶ τούτους τῇ αἴγλῃ φωτοβολεῖν θαυμασίως·
καὶ τοῦτο δέ γε τὸ φάος τὸ φωτισθὲν ἐκ τοῦ θείου
θεαρχικοῦ ἀιδίου φωτὸς τοῦ ὑπεραγίου
ἐμφαίνεσθαι σελαγίζον ὑπὲρ τὸ σέλας γε ἅπαν
τοῦ φωταυγοῦντος ἡλίου, καὶ ὑπὲρ τὴν τῶν ἀστέρων
συμπάντων μάλιστα δόξαν. Καὶ γὰρ Θεῷ συνημμένοι
κυροῦντες τῷ ἀθανάτῳ, ἀθάνατοι τε αὐτοί γε
καθίστανται διὰ τοῦτο, ἀκήρατοί τε τελείως,

ὡς ἐπηγγείλατο πάλαι τοῖς μαθηταῖς ὁ Δεσπότης,
εἰπών, ὦ ἅγιε Πάτερ, οὓς δέδωκάς μοι ἐθέλω,
ὅπου εἰμὶ ἐγώ, ἵνα κἀκεῖνοι μετ' ἐμοῦ ὦσιν,
ἵνα δὴ καὶ θεωρῶσι τὴν δόξαν μου· ἵνα πάντες
ἓν ὦσι, ναὶ ἅγιε πάτερ· καθὰ σὺ ἐν ἐμοὶ πάντες
κἀγὼ ἐν σοί, ἵνα οὕτω αὐτοὶ καὶ ἐν ἡμῖν ὦσιν.


ΚΕΦΑΛΑΙΟΝ Η'

Περὶ τῆς ἐν Οὐρανοῖς βασιλείας.

Ἡ Οὐράνιος ἡ μόνη θεία ὄντως βασιλεία
ἔστιν εὐδαιμονεστάτη τοῖς ἁγίοις βασιλεία,
κρείσσων δὲ θανάτου ἐστιν, βασιλεία αἰωνία,
ἥν περ χρόνος δι' αἰῶνος πώποτε οὐδεὶς παράπαν
ἐπιδιαδέχεταί πως· ἐν αὐτῇ ἐνδελεχὴς δὲ
ἡ ἡμέρα νυκτὸς ἄτερ, οὐ καιρόν τινά ποτ' οἶδεν.
ἔνθα μετὰ τὸν ἀγῶνα ὁ νικήτωρ στρατιώτης
ἀγαθῶν σωρὸν ἀρρήτων παρὰ τοῦ ἀγωνοθέτου
προσκομίζεται ὡς ἆθλον·
ἔκλαμπρον τὴν κεφαλὴν δὲ ἔχει ἀναδεδημένος
στέμματι ἐν ἀιδίῳ.

—

Εἴθε ἀπαλλαγέντα με τοῦ ἄχθους τῶν ἁμαρτιῶν,
τῶν δούλων τοῦ Κυρίου μου Χριστοῦ κἀμὲ τὸν ἔσχατον,
Θεός γε ἐπιτάξειε τὸ τῆς σαρκὸς ἐπίσαγμα



ἐν ὥρᾳ ἀποθέμενον ἐπὶ τὴν εὐφροσύνην με
τῆς πόλεως τῆς ἑαυτοῦ καὶ τὴν χαρὰν τὴν ἄληκτον
ἐν ἀναπαύσει μεταβῆν ἀεὶ καὶ ἀναστρέφεσθαι
μετὰ τῶν ἐν αὐτῇ χορῶν ἔνθα οἱ ἁγιώτατοι
καὶ ὑπερκόσμιοι χοροί καὶ τοῖς ἁγίοις πνεύμασι
συνοργιάζειν ἐν χαρᾷ τῇ δόξῃ τοῦ Δημιουργοῦ
καὶ ἐποπτεύειν διαρκῶς τὸ πρόσωπον τὸ τοῦ Θεοῦ
μηδεμιᾶς πτοήσεως θανάτου ἐπιούσης πω,
τῇ ἀφθαρσίᾳ ἀδεῶς ἐν ἀιδίῳ χαίρειν δὲ
καὶ συνημμένον τῷ Θεῷ τῷ συνειδότι ἅπαντα
γνόφον ἀγνοίας ἅπαντα ἀποσκευάσασθ᾽ ἐν βραχεῖ,
πασῶν τε μὲν ὀλιγωρεῖν τῶν ἐπὶ γῆς εὐφροσυνῶν,
τὴν δὲ κοιλάδα τῶν κλαυθμῶν μήτε θεᾶσθα, ἀξιοῦν
μήτε ἀναμιμνήσκεσθαι· ἐν ᾗ ζωὴ ἐπίμοχθος
καὶ βίος τε ἐπίκηρος, πικρίας τέ ἐστι μεστός,
βίος παντοίων τε κακῶν δεσπόζων καὶ τοῖς κάτω δὲ
προσσυρομένοις ἐς ἀεὶ αὐτὸς ὑποδουλούμενος.
Ζωή, ἐν ᾗ οἱ μὲν χυμοὶ καὶ πᾶσαι αἱ ὑγρότητες
τὸ σῶμα ἐξοιδίσκουσιν, αἱ δ᾽ ἀλγηδόνες τήκουσι
καὶ ὅλον κατισχναίνουσιν· οἱ καῦσοι δὲ ξηραίνουσιν,
αἱ τῶν ἀέρων δὲ πνοαὶ νοσώδες ἀπεργάζονται,
τὰ σῖτα διογκοῦσι δέ, αἱ ἀσιτίαι φθείρουσιν·
αἱ παιδιαὶ ἐκλύουσιν, καὶ αἱ ἀνίαι τῆς ψυχῆς
ἐκδαπανῶσι τάχιστα, στενοχωροῦσι μέριμναι
ἡ ἐν ἀσφαλεστέρῳ πως ἀμβλύνει δὲ διαγωγὴ
καὶ ἐκτυφοῖ ὁ πλουτισμός, καὶ ἡ πενία ταπεινοῖ,
ἐπαίρει ἡ νεότης δέ, τὸ γῆρας δ᾽ αὖ ὑποκυφοῖ,
ἡ νόσος διαθραύει δέ, ἡ λύπη καταβάλλει τε,

ἐνέδρας ἵστησι πολλὰς ὁ πολεμῶν διάβολος
ὁ κόσμος αὖ θωπεύει δέ, ἡ σάρξ τε καθηδυπαθεῖ,
καὶ ἐκτυφλοῦται ἡ ψυχή, ὁ ἄνθρωπος ταράσσεται·
ἐπὶ τοῖς τηλικούτοις δὲ καὶ τοῖς τοιούτοις τε δεινοῖς
ὁ θάνατος ἐρχόμενος τὰ πάντα διαδέχεται
καὶ πέρας ταῖς ματαίαις τε τοῦ κόσμου ἐπιτέρψεσιν
εἰς τέλος ἐπιτίθησιν ὡς παυσομένας τοῦ λοιποῦ
τοῦ εἶναι τὸ παντάπασι, μηδ᾽ ὑπολείπειν δόκησιν
καὶ τοῦ γενέσθαι ποτ᾽ αὐτάς.

ΚΕΦΑΛΑΙΟΝ Θ΄

Ὅπως ὁ Θεὸς τὴν ἀπολοφυρομένην ψυχὴν μετὰ τοὺς πολλοὺς ὀδυρμοὺς παραμυθεῖται.

᾽Αλλ᾽ ὁποίους ἄρα ὕμνους ποίας τε εὐχαριστίας
προσενέγκοιμέν σοι, Πάτερ ὕψιστε Θεὲ τῶν ὅλων,
τῷ καὶ ἐν ταῖς τηλικαύταις περιστάσεσι τοῦ βίου
τῆς θνητότητος μηδόλως λείποντι παραμυθεῖσθαι
ἅπαντας ἡμᾶς τῇ θείᾳ οὐρανίᾳ ἐπισκέψει
τῆς πολλῆς χρηστότητός σου τῆς ἀφάτου χάριτός σου;

—

᾽Ιδοὺ δὴ ὁ ἐλεεινὸς ἐγὼ περιστατούμενος
ὑπὸ πολλῶν μου ὀδυνῶν καὶ ὑπὸ θλίψεων πολλῶν,
ἐν τῷ τοῦ βίου τοῦ ἐμοῦ φοβεῖσθαι πέρας, Κύριε,
καὶ τὰ ἡμαρτημένα μοι δὲ ἐπαναλογίζεσθαι,

ἐν τῷ δειμαίνειν τε τὴν σὴν κρίσιν καὶ τοῦ θανάτου μου
τὴν ὥραν ἐνθυμεῖσθαί με, καὶ ὑποφρίττειν τὰς δεινὰς
κολάσεις τὰς κειμένας μοι ἐν τῷ ταρτάρῳ τῷ φρικτῷ·
(ὅση τῇ ἀκριβείᾳ γὰρ διεξερευνηθήσεται
τὰ ἔργα πάντα τὰ ἐμά, οὐκ οἶδα, οὐδ' ὁποίῳ ποτ'
ἄρα τῷ τέρματι αὐτὰ ἐγὼ δὴ ἐπισφραγιῶ,
ὅλως αὐτὸ ἐπίσταμαι). Ὅμως γε μέντοι ταῦτά τε
καὶ πλεῖστα ἐπὶ τούτοις δὲ ἕτερα ἐν καρδίᾳ μου
ἀναπολοῦντι πάντοτε κατ' ἐμαυτὸν σὺ πάρει μοι,
ὦ Κύριέ μου καὶ Θεέ, κατὰ τὸ εἰωθὸς αὐτὸ
τοῦ θαυμαστοῦ ἐλέους σου, καὶ τῶν τοιούτων μεταξὺ
ὀλοφυρμῶν καὶ θρήνων μου ἐκ βάθους τῆς καρδίας μου
καὶ τῶν πολλῶν μου στεναγμῶν τὴν ἐν ἀδημονίᾳ τε
καὶ ἀθυμίᾳ πέλουσαν ψυχὴν ἀναλαμβάνεις μου
ἐξαίρων ἄχρι κορυφῶν ὀρέων ἐπὶ ἀλωὰς
τῶν ἀρωμάτων, καὶ σκηνοῖς ἐν τόπῳ χλόης ἀνθηρᾶς
παρὰ τὰς διεξόδους δὲ ὑδάτων θείων γλυκερῶν,
ἔνθ' ἑτοιμάζεις τράπεζαν ἐμοὶ Σὺ περιούσιον
ἐξ ἐναντίας, Κύριε, ἁπάντων τῶν θλιβόντων με,
ἐν ᾗ γε καὶ τὸ πνεῦμά μου τὸ τέλεον ἀποκαμὸν
ἀναπαυθείη, Κύριε, καὶ ἡ κατώδυνος αὐτὴ
καρδία μου ἐπευφρανθῇ·
ἐν αἷς ἐγὼ τερπνότησιν ἐμὲ αὐτὸν κτησάμενος
ἐπιλανθάνομαι πασῶν ἀθλιοτήτων τῶν πολλῶν
καὶ ὑπὲρ γῆς τὸ ὕψωμα μετάρσιός πως ἐπαρθεὶς
καθησυχάζω, Κύριε, ἐν τῇ εἰρήνῃ τῇ ἐν σοί.

ΚΕΦΑΛΑΙΟΝ Ι'

Περὶ γλυκύτητος τῆς τοῦ Θεοῦ ἀγαπήσεως.

Ἀγαπῶ Σε τὸν θεόν μου, ἀγαπῶ σε, ποιητά μου·
ἔτι μᾶλλον δὲ ἐθέλω Κύριέ μου ἀγαπᾶν σε.
Δός μοι, ὁ Θεός μου, δός μοι ὁ ὡραῖος κάλλει πέλων
παρὰ τοὺς Υἱοὺς ἀνθρώπων, δός μοι τὸ ἐπιποθεῖν Σε
καὶ τὸ ἀγαπᾶν Σε λίαν, ὅσον βούλομαι, Θεέ μου,
ὅσον τ' ἀγαπᾶν ὀφείλω. Σὺ ἀμέτρητος τυγχάνεις
διὰ τοῦτο ἄνευ μέτρου πέλεις καὶ ἀγαπητέος·
παρ' ἡμῶν δὲ ἔτι μᾶλλον, Κύριε, διαφερόντως
πέφυκας ἀγαπητέος οὓς ἠγάπησας τοσοῦτον
καὶ διέσωσας δὴ οὕτω, ὑπὲρ ὧν τοσαῦτα ἔργα
καὶ τοιαῦτα ἐξειργάσω.
Ὢ ἀγάπη γλυκυτάτη ἡ ἀεὶ πυρσευομένη
μή ποτε δὲ σβεννυμένη, Ἰησοῦ Πανάγαθέ μου,
ὦ Χριστὲ γλυκύτατέ μου! ὦ θεὲ ἡ αὐταγάπη
πύρωσόν με τῇ φλογί σου ὅλον καὶ τῷ ἔρωτί σου,
τῇ γλυκύτητί σου, Λόγε! πύρωσόν με τῷ σῷ πόθῳ,
πάσῃ τῇ χρηστότητί σου, τῇ τερπνότητι σου πάσῃ
καὶ τῇ σῇ ἀγαλλιάσει, τῇ πολλῇ ἐπιεικείᾳ
καὶ τῇ θείᾳ εὐμενείᾳ, τῇ πρὸς σέ μού τε ὀρέξει
καὶ ἐφέσει τῇ ἁγίᾳ, τῇ ἁγνῇ τῇ ἀγαθῇ τε
καὶ καθαρωτάτῃ ὅλῃ· ὅπως ἂν ὅλος ὢν πλήρης
τοῦ ἁγίου γλυκασμοῦ σου τοῦ τῆς ἀγαπήσεώς σου,
ὅλος ἀναδιδομένη φλὸξ ἐκ τῆς οἰκτίρμονός σου


χάριτος, σὲ ἀγαπῴην, Σὲ τὸν ὑπερήδιστόν μου
τὸν ὑπερκαλλέστατόν τε Κύριόν μου καὶ Θεόν μου,
καὶ ἐξ ὅλης τῆς καρδίας καὶ ἐξ ὅλης τῆς ψυχῆς μου
ὅλης τῆς δυνάμεώς μου, καὶ ἐξ ὅλης διανοίας,
πνεύματι συντετριμμένῳ καὶ μετὰ πηγῆς δακρύων
μετὰ κατανύξεώς τε εὐλαβοῦς καὶ προσηκούσης
μετὰ φόβου τε καὶ τρόμου, ἔχων Σὲ ἐν τῇ καρδίᾳ
καὶ ἐπὶ τοῦ στόματός μου καὶ ἀεὶ πρὸ ὀφθαλμῶν μου
πάντοτε ἁπανταχοῦ τε, οὕτως ὥστε μηδεμίαν
ὑπολείπεσθαί γε χώραν τοῖς νοθιγενέσι πάσαις
καὶ κιβδήλοις τῶν τοῦ κόσμου ἀγαπήσεων τελείως.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Ὡς ἡμᾶς παρεσκευάσθαι δέον ἐπὶ τῆς ἡμῶν αὐτῶν ἐξαγοράσεως.

Χριστὲ ὑπερκαλλέστατε, σοῦ δέομαι, Λόγε Θεοῦ,
ἕνεκεν τῆς ἐκχύσεως τοῦ πολυτίμου αἵματος
τοῦ παναγιωτάτου σου, δι' οὗ ἡμᾶς φιλεύσπλαγχνε
θελήσας ἐξηγόρασας, παράσχου μοι δὴ συντριβὴν
καρδίας, ἐξαιρέτως δὲ πηγὴν δακρύων ἐν ᾧ σοὶ
δεήσεις ἱκεσίας τε προσάγων σοι παρίσταμαι·
ἐν ᾧ σοι ὕμνον ἄξιον μελπόμενός σοι προσαυδῶ.
ἐν ᾧ τὸ λύτρον τῆς ἡμῶν ἐξαγορᾶς τὸ τίμιον,
τὸ μυστηριωδέστατον τὸ πέλον προδηλότατον

ἐχέγγυον τῆς πρὸς ἡμᾶς φιλανθρωπίας, Κύριε,
ἀπαύστως ἐπαναπολῶ καὶ ἤδη σοι προβάλλομαι·
ἐν ᾧ ἐφίσταμαι ἐγὼ τοῖς θυσιαστηρίοις σου
(καίτοι ἀνάξιός γε ὢν) σοὶ Κύριε προσενεγκεῖν
ἐκ πόθου ἐφιέμενος ἐκεῖνο τὸ Οὐράνιον
καὶ θεῖον ὁλοκάρπωμα τὸ μέγα ἅμα καὶ φρικτόν,
ὅπερ αὐτὸς Σὺ Κύριε διέθου ὡς ἀμίαντος
ὑπέρτατος Ἀρχιερεὺς καὶ εἰς ἀνάμνησιν τῆς σῆς
ἀγάπης ἐντετείλω σὺ προσφέρεσθαι διὰ παντός·
τοῦ σοῦ θανάτου δηλαδὴ καὶ τοῦ ἁγίου πάθους σου
τοῦ ὑπὲρ τῆς ἡμῶν αὐτῶν Χριστὲ ἀπολυτρώσεως
καὶ σωτηρίας τῆς ἡμῶν τελειωθέντος ἐν σταυρῷ
καὶ τῆς ἐπανορθώσεως τῶν καθημερινῶν ἡμῶν
ἀσθενημάτων, Κύριε.
Στερεωθήτω, δέομαι, τὸ Πνεῦμα Σῶτερ τὸ ἐμὸν
ἐν μέσῳ τῶν ἁγίων σου καὶ θείων Μυστηρίων σου
διὰ τοῦ θείου γλυκασμοῦ τῆς παραστάσεως τῆς σῆς.
Ἐπαισθανέσθω, Κύριε, παρόντος σου τὸ πνεῦμά μου
καὶ εὐφραινέσθω, δέομαι, ἐνώπιόν σου εἰς ἀεὶ
Σοῦ τοῦ πυρὸς τοῦ φαίνοντος, τοῦ ἔρωτος τοῦ ζέοντος
εἰς τὸν αἰῶνα εἰς ἀεί.
Ὦ Ἰησοῦ γλυκύτατε! Χριστὲ Θεὲ πανάγαθε,
τὸ φάος τὸ αἰώνιον, τὸ φάος τὸ ἀνέκλειπτον,
ὁ ἄρτος ὁ οὐράνιος ὁ ζῶν, διδοὺς δ' ἡμῖν ζωὴν
καὶ μὴ ἐκλείπων ποτ' ἐν σοί, μήποτε δαπανώμενος.
Ἐπίφαυσον δὴ ἐπ' ἐμέ, ἐκπύρωσόν με, λάμπρυνον
καὶ ὅλον με ἁγίασον, σὸν γάρ τοι σκεῦος πέφυκα·
Σὺ ἀπεκκένωσον αὐτὸ τῶν ἑαυτοῦ μοχθηριῶν



καὶ ἔμπλησον σῆς χάριτος καὶ ταύτης ἔμπλεον ἀεὶ
σὺ Σῶτερ διατήρησον, ἵνα εἰς σωτηρίαν μου
τῆς βρώσεως μετάσχοιμι τῆς παναγίας σου σαρκός.
ἐσθίων δὲ ζώην ἐκ σοῦ, ζωὴν δὲ λάβω διὰ σοῦ
καὶ ἐφικοίμην δὲ εἰς Σέ, ἀναπαυθείην δὲ ἐν σοί.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ'

Περὶ Χαρᾶς.

Ὦ γλυκύτης τῆς ἀγάπης, καὶ γλυκύτητος ἀγάπη,
ἐσθιέτω σε ἀπαύστως ἡ γαστήρ μου εὐφροσύνως,
καὶ τοῦ νέκταρος πιμπλάσθω τῆς ἀγάπης σου τὰ [σπλάγχνα]
καὶ ἐξερευξάσθω λόγον ἀγαθόν μου ἡ καρδία.
Ἡ ἀγάπη ὁ θεός μου μέλι γλυκερόν, καὶ γάλα
πῖον χιονῶδες πέλει, ἀγαλλίασις καὶ βρῶσις
γένοιτό μοι ἐν τῷ βίῳ· ποίησον ὡς ἐναυξοίμην
ὁ Θεὸς ἐν σοὶ ἀπαύστως ἔτι δὲ ὑγιαινούσῃ
ὑπερῴᾳ τε καὶ γλώσσῃ ὢ γενόμενος ἀπαύστως.
Σὺ θεὲ εἶ ἡ ζωή μου, καθ' ἣν ζῶν τελῶ ἐν Κόσμῳ,
ἡ ἐλπὶς τὸ στήριγμά μου ἡ ἀΐδιός μου δόξα,
ἧς ἐφίεμαι σὺν πόθῳ, Κύριε, ἐπαπολαῦσαι,
Σύ μοι τήρει τὴν καρδίαν καὶ διεύθυνον Σὺ Λόγε
νοῦν τε καὶ διάνοιάν μου, τὸ φρονοῦν μοι καθοδήγει,
ἔγειρέ μου τὴν ἀγάπην, ἔξαιρε καὶ τὴν ψυχήν μου

καὶ τὸ στόμα τοῦ διψῶντος πνεύματός Σε ἐπὶ ῥεῖθ
τὰ ὑπέρτατα Σὺ ἕλκε.

—

Σιγησάτω, δέομαί σου, ἐν ἐμοὶ ὁ τῆς σαρκός μου
θροῦς ὁ μὲ διαταράττων, σιωπάτωσάν μοι πᾶσαι
Λόγε αἱ φαντασιώσεις αἱ ἀπὸ γαιῶν παντοῖαι,
θαλασσῶν καὶ ἐξ ἀέρος καὶ τοῦ Οὐρανίου πόλου.
Τὰ ἐνύπνια φιμούσθω καὶ αὐταὶ αἱ ὀνειρώδεις·
ἐν νυκτὶ ἀνακαλύψεις, ἀλλά γε καὶ πᾶσα γλῶσσα,
ἅμα δὲ καὶ πᾶν σημεῖον, ὅ,τι δὴ ποτὲ ἐστίν τε
τῶν παρερχομένων φύσει.
Ἀλλ' ἐν ἑαυτῇ σιγάτω καὶ καθ' ἑαυτὴν παρίτω
ἡ ψυχὴ αὐτή τε αὕτη, μηδαμῶς ἐνθυμουμένη
ἑαυτήν, ἀλλὰ Σὲ μόνον τὸν θεὸν καὶ Κύριόν μου
εἴη διανοουμένη ὅτι σὺ εἶ ἡ ἐλπίς μου,
Σὺ καὶ ἡ πεποίθησίς μου. Ἐν σοὶ γὰρ τῷ λ
[τρωτῇ μο
τῷ θεῷ μου καὶ Κυρίῳ Ἰησοῦ Χριστῷ Σωτῆρι
τῷ τελοῦντι γλυκυτάτῳ ἅμα τ' ἐπιεικεστάτῳ
πανοικτίρμονι τε μόνῳ ἔνεστιν ἡμῶν ἑκάστου
ἡ μερὶς τῆς συγγενείας καὶ ἡ σὰρξ ὡς καὶ τὸ αἷμ
Ἔνθα δ' ἄρα βασιλεύει ἡ μερὶς ἡ ἀνθρωπεία,
καὶ ἐμὲ ἐκεῖ πιστεύω ἀληθῶς συμβασιλεύειν·
ἔνθα δ' ἄρχει τοὐμὸν αἷμα, πέποιθα αὐτὸς τὲ ἄρχει
ἔνθα τὸ ἐμὸν δὲ σῶμα εὕρηται δεδοξασμένον,
καὶ ἐμὲ αὐτὸν ναὶ οἶδα πέλοντα δεδοξασμένον.
Εἶ δὲ καὶ φιλαμαρτήμων πέφυκα, ἀλλὰ οὐκ ἔχω
ἀπιστεῖν με περὶ τῆς μοι κατὰ χάριν γενομένης

κοινωνίας ἀϊδίας καὶ μεθέξεως τελείας·
εἰδέ με ἀπείργει, Λόγε, τά μοι πεπλημμελημένα,
ἀλλὰ ἡ ἐμὴ Οὐσία τοῦτο ἀπαιτεῖ δικαίως,
εἰ δὲ τὰ ἐγκλήματά μου ἀπὸ σοῦ με ἀποκλείει,
ἀλλά γε ἡ μετουσία τῆς σαρκὸς οὐκ ἀπωθεῖται.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

Ὅτι ὁ σαρκωθεὶς Θεὸς Λόγος ὁ τῆς ἐλπίδος ἡμῖν καθέστηκεν αἴτιος.

Οὐχ οὕτως γὰρ ὁ Κύριος ὑπάρχει ἀνεπιεικής,
ὥστε μὴ ἀγαπᾶν αὐτὸς τὴν σάρκωσιν τὴν ἑαυτοῦ,
τὰ μέλη τε τὰ ἑαυτοῦ, τὰ σπλάγχνα τε τὰ ἑαυτοῦ.
Ἀπεγνωσμένος εἴην ἂν διὰ τὰς ἁμαρτίας μου
καὶ τὰς πολλὰς κακίας μου καὶ τὰς ὑπὲρ δὲ ἀριθμὸν
παντοίας πλημμελείας μου καὶ τόσας ἀθετήσεις μου,
ἅς περ ἐγὼ ἐποίησα καὶ καθ' ἡμέραν ἐκτελῶ,
ἀδιαλείπτως λόγῳ τε καὶ ἔργῳ καὶ παντοίοις δὲ
τρόποις ὁπόσοις πάντοτε ἡ τοῦ ἀνθρώπου ἀσθένεια
ἐξαμαρτάνειν πέφυκεν, εἰμὴ ὁ σὸς υἱός, Θεέ,
καὶ Λόγος σὰρξ ἐγένετο καὶ ἐν ἡμῖν ἐσκήνωσεν.

Ἀλλ' ἀπογνῶναι ἥκιστα τὰ νῦν γε ἂν τολμήσαιμι,
ἐπεὶ ὁ ὑπακούσας σοι ἕως θανάτου σταυρικοῦ
εἰλήφει τὸ χειρόγραφον τὸ τῶν ἁμαρτιῶν ἡμῶν

καὶ καθηλώσας τῷ σταυρῷ τὴν ἁμαρτίαν ἐπ' αὐτῷ
καὶ τὸν ἐκ ταύτης θάνατον δυνάμει ἀνεσταύρωσεν.
Καὶ τοίνυν ἀσφαλῶς ἐγὼ νῦν ἀναπνέω ἐν αὐτῷ
τῷ καθημέν' ἐκ δεξιῶν σοῦ τοῦ Θεοῦ μου καὶ πατρὸς
καὶ μεσιτεύοντι ἀεὶ ὑπὲρ ἡμῶν τῶν ἀλιτρῶν.
διὸ καὶ ἐν αὐτῷ θαρρῶν ἱκέσθαι σοι ἱμείρομαι,
ἐν ᾧ καὶ ἀνηγέρθημεν νῦν καὶ ἀνεζωώθημεν·
ἤδη μὲν γὰρ εἰς Οὐρανὸν αὐτῷ συνανερχόμεθα
καὶ ἐν τοῖς Οὐρανίοις δὲ αὐτῷ συμπαρεδρεύομεν·
σοὶ πρέπει αἶνος καὶ τιμὴ δόξα εὐχαριστία τε.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ'

Ὅτι ὅσῳ ἐκτενεστέρα ἡ περὶ τὸν Θεὸν μελέτη γίνεται τοσούτῳ καθίσταται ἡδίων.

Ὦ πολυεύσπλαγχνε Θεέ, ὁ οὕτω πως αὐτὸς ἡμᾶς
φιλήσας περισώσας τε, Κύριε πολυεύσπλαγχνε,
ἡδίστη σου ἡ ὕμνησις. Ὅσῳ δὴ μᾶλλον εὐσεβῶς
τυγχάνω σοι ἐμμελετῶν, τοσούτῳ μοι ἡδίων Σὺ
καὶ δὴ ἐρασμιώτερος τοῖς κάλλεσι παρίστασαι·
μὲ κατευφραίνει σφόδρα γὰρ τὸ τὴν ἁγίαν καλλονὴν
καὶ θαυμαστὴν ἀγάπην σου ἀπαύστως με ἐπιθυμεῖν
καὶ δὴ ἀναλογίζεσθαι, ἥ περ μοι ἐφικτόν ἐστιν,
δι' ἀκραιφνοῦς νοῦ ἐννοιῶν καὶ διὰ γλυκυτάτου τε
πόθου ἐρώσης Σε ψυχῆς ἐν τῷ τῆς παροικίας μου

τόπῳ τουτὶ ἀεὶ ἐπί γε διατιθεμένης σοί,
ἕως εἰμὶ συνεστηκὼς τοῖς ἐπικήροις τουτοισὶ
ἐνθάδε ἀθλίοις μέλεσι τὴν θαυμαστὴν ἀγάπην σου
καὶ ἔκπαγλόν σου καλλονήν, ἥ περ μοι ἐφικτόν ἐστιν,
ἀπαύστως Σὲ ἐπιθυμεῖν ἀεὶ ἀναλογίζεσθαι.
Τῷ βέλει τῆς ἀγάπης γὰρ τῆς σῆς Θεέ μου τέτρωμαι
καὶ τῷ ἱμέρῳ τῷ πρὸς Σὲ ἀπαύστως καταφλέγομαι,
ἱκέσθαι δὲ ὀρέγομαι πρὸς Σὲ καὶ Σὲ θεάσασθαι
μεγάλως καταγλίχομαι. Διὸ ἐπὶ τῆς φυλακῆς
στήσομαι ἤδη τῆς ἐμῆς, ἐγρηγορόσι δ' ὀφθαλμοῖς
ψαλῶ μὲν σοὶ τῷ πνεύματι ψαλῶ δὲ σοὶ καὶ τῷ νοΐ
ὅλαις μου ταῖς δυνάμεσι τὸν πλαστουργόν μου Κύριον
Θεὸν τὸν ἀναπλάστην μου, αἰνέσω δὲ διὰ παντός.
Διήξω δὲ καὶ δι' αὐτοῦ τοῦ πόλου, ὅση δύναμις,
καὶ ἔσομαι ἀεὶ σὺν σοὶ καὶ πόθῳ τε καὶ λογισμῷ,
ἵνα ἐπὶ τῆς ἐν ἐμοὶ ἑστώσης ἀθλιότητος
ἐν μόνῳ μὲν τῷ σώματι ὦ τοῖς παροῦσι κάτοχος,
νοήσει προθυμίᾳ δέ, ἐφέσει ὁλοψύχῳ τε
σὺν σοὶ τελῶ ἀείποτε, ἐκεῖ γὰρ ἡ καρδία μου,
ἐν ᾧ ὁ θησαυρός μου Σὺ ὁ ποθεινός μοι εὕρηται
ὁ ὅλως ἀπαράβλητος ὅλως ὑπερεπέραστος.

Ἀλλ' ἰδοὺ νῦν ὁ Θεός μου, ὁ πανάγαθος Θεός μου,
ὁ Θεὸς ὁ πανοικτίρμων, ἐν ᾧ θέλω σοῦ τὴν δόξαν
τὴν τῆς ἀγαθότητός σου τῆς ἀμέτρου εὐσπλαγχνίας
νῦν ἀναλογίσασθαί πως ἡ καρδία μου οὐκ ἔστι
Κύριέ μου ἐπαρκοῦσα· ὑπερέχει αἴσθησιν γὰρ
πᾶσάν γε ψυχῆς βροτείας καλλονή σου ἡ τελεία,

σοῦ ἡ θεία ὡραιότης, καὶ ἡ δύναμις καὶ δόξα
ἡ μεγαλοπρέπειά σου καὶ ἡ σὴ μεγαλωσύνη
καὶ ἡ ἄκρα σου χρηστότης. Ὡς ἀνείκαστος γάρ ἐστιν
ἡ λαμπρότης τῆς σῆς δόξης, οὕτως ἀνερμήνευτός τε
καὶ ἀνεκδιήγητός τε ἔστιν ἡ τῆς αἰωνίου,
Κύριε, ἀγαθωσύνης καὶ ἡ ἐπιείκειά σου,
δι' ἧς οὓς παρήγαγες Σὺ ἐκ τοῦ μηδενός βουλήσει
καὶ υἱοθετεῖς βουλήσει Σὺ καὶ σεαυτῷ συνάπτεις.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ'

Ὅτι ἐπὶ τοῦ παρόντος βίου αἱ ὑπὲρ Χριστοῦ θλίψεις εἰσὶν ἐπιθυμητέαι.

Εἴπερ, ὦ ψυχή, στρεβλοῦσθαι καθ' ἑκάστην ἡμᾶς ἔδει
ὑπὲρ τοῦ Χριστοῦ Σωτῆρος διὰ τῶν κολαστηρίων,
εἰ τὴν γέενναν αὐτήν τε ἔδει ἡμᾶς ὑπομένειν
οὐ διὰ βραχέος χρόνου ὡς Χριστὸν ἂν δυνηθῶμεν
κατιδεῖν ἐν θρόνῳ δόξης ἑαυτοῦ σὺν τοῖς ἁγίοις
ἀναστρέφεσθαι ἀπαύστως, οὐκ ἀντάξιον ἂν εἴη
ἡμᾶς ἅπαν ὑπομεῖναι ἀλγεινὸν ἀνιαρόν τε
πρὸς τὸ καὶ ἡμᾶς γενέσθαι ἀγαθοῦ δὴ τηλικούτου
ἐν μεθέξει καὶ τοσαύτης ἐντυχεῖν εὐδαιμονίας!
Τοιγαροῦν ἀεὶ ἐχόντων δαίμονες τοὺς σφῶν ἰδίους
πειρασμοὺς ἑτοίμους πάντας τοῦ πειρᾶσ' ἀδιαλείπτως·
συνθραυέτωσαν τὸ σῶμα τὸ ἡμῶν αἱ ἀσιτίαι·



πιεζέτωσαν αὐτό τε αἱ τραχεῖαι ἀμφιέσεις·
ἐπιβαρυνέτωσάν τε καὶ οἱ μόχθοι καὶ οἱ πόνοι·
οὗτός μου καταβοάτω, οὗτος δὲ παρενοχλείτω·
ῥῖγος δέ μ᾽ ἐπικυρτούτω, καὶ αὐτὸ τὸ συνειδός μου
ἀεὶ ἐπιϋλακτείτω·
καὶ ὁ καύσων τῆς ἡμέρας ἐπελθὼν περιφλεγέτω,
κεφαλή μου ἐπαλγείτω καὶ τὸ στέρνον μου πιμπράσθω,
πρόσωπον δὲ ὠχριάτω καὶ κατατρυχέτω ὅλον
με ἀεὶ ἡ ἀρρωστία ἡ ζωή μου ἐν ὀδύναις
ἐκλιπέτω, καὶ ἐν λύπαις καὶ ἐν στεναγμοῖς τὰ ἔτη·
σηπεδὼν ἐν τοῖς ὀστέοις τοῖς ἐμοῖς ἐπισκηψάτω,
καὶ τὰ ἕλκη ὁλοκλήρως ἐν τῷ σώματι βρυέτω·
ἵνα ἀναπαύσωμαί γε ἐν ἡμέρᾳ θλίψεώς μου,
ἀναβήσωμαι δὲ τέως ἐπὶ τὸν Λαὸν Κυρίου τὸν ἰσχὺν
[διεζωσμένον.


Καὶ ὁποία ἄρα ἔσται ἡ ἐν οὐρανοῖς ἐκείνη
τῶν δικαίων θεία δόξα;
καὶ ἡλίκη τῶν δικαίων ἔσεται ἡ χαρμοσύνη,
ὅταν ὥσπερ ἥλιός τις πρόσωπον παντὸς ἐκλάμψῃ;
Ὅταν τοῦ Θεοῦ ὁ Λόγος ἄρξηται ἐνδιαστέλλων
ἐν τῇ ἄνω Βασιλείᾳ τοῦ Πατρὸς τοῦ Οὐρανίου
καταλέγειν κατ᾽ ἀξίαν τήν αὐτῶν τε καὶ τὰς πράξεις
τὰς αὐτοῦ ἁπάσας τάξεις, καὶ ἑκάστῳ ἐπιβραβεύειν
πάντα τὰ ἐπηγγελμένα, ἀντὶ τῶν προσκαίρων τούτων
τὰ αἰώνια, ἀντὶ δὲ τῶν μικρῶν γε τὰ μεγάλα;
Ὄντως ὁ σωρὸς ἐκεῖσε ἔσται τῆς εὐδαιμονίας,
ὅτε τοὺς ἁγίους πάντας τοὺς αὐτοῦ ὁ θεῖος Λόγος

συνιδρύσει ἐν τοῖς ἄνω Οὐρανίοις Βασιλείοις
τοῦ ἐνθεωρεῖν ἀπαύστως τοῦ Πατρὸς τὴν θείαν δόξαν,
ἵνα ὁ Θεὸν τῶν ὅλων ᾖ τὰ πάντα καὶ ἐν πᾶσιν.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ'

Ὅπως ἡ τῶν Οὐρανῶν βασιλεία ἔχοι ἂν πορίζεσθαι.

Ὦ τῆς παντέρπνου χαρμονῆς, τέρψεως πανευδαίμονος
τὸ τοὺς ἁγίους καθορᾶν
καὶ χρηματίζειν ἑαυτὸν μετὰ ἁγίων ἅγιον!
καὶ τὸ θεᾶσθαι τὸν θεὸν καὶ ἔχειν τὸν θεὸν ἀεὶ
εἰς τοὺς αἰῶνας ἅπαντα!
Κατανοῶμεν ταῦτά τε ἐπιμελῶς προσεκτικῶς
καὶ τούτων ὅλῳ τῆς ψυχῆς τῷ πόθῳ ἐφιώμεθα,
ὡς δυνηθῶμεν εἰς αὐτὰ ἐν τάχει ἐφικέσθαι με.
Πυνθάνῃ ὅπως τουτοῒ γενέσθαι ἔχοι ἂν ποτε;
καὶ τίσιν ἔργοις γέγοιτ᾽ ἂν καὶ τίσι βοηθήμασιν;
ἄκουε θείων ἐραστά, τὸ πρᾶγμα κεῖται παρ᾽ αὐτῷ
τῷ ἔργοις σπεύδοντι ἀεί· ἡ ἄνω βασιλεία γὰρ
ἡ οὖσα ἐν τοῖς Οὐρανοῖς βιάζεται, καὶ ταύτην δὲ
οἱ βιασταὶ λαμβάνουσιν.
Ἡ Βασιλεία τοῦ Θεοῦ, ἡ βασιλεία Οὐρανῶν
οὐκ ἀπαιτεῖ τι ἕτερον πρὸς ἀληθῆ ἐκτίμησιν
παρὰ σὲ ἄνθρωπε αὐτόν, τοσούτου γὰρ τετίμηται,



ὅσου τιμήματος εἶ σύ. Δός σεαυτὸν ὡς τίμημα
καὶ ἕξεις ἣν ἐφίεσαι. Τί περὶ τῆς ὠνήσεως
τυρβάζεις καὶ πυνθάνεσαι. Χριστὸς ἔδωκεν ἑαυτόν,
Ἵνα σὲ τῷ Θεῷ Πατρὶ ὡς βασιλείαν κτήσηται.
Ὡσαύτως δὸς καὶ σὺ σαυτὸν ὡς ἧς ἡ βασιλεία αὐτοῦ
καὶ μὴ ἡ βασιλεύουσα ἐν τῷ θνητῷ σου σώματι
ἡ ὁμαρτία, ἀλλὰ ἡ τὸ πνεῦμα τὸ ζωοποιὸν
ἐν τῇ ἐπιποθήτῳ σοι κληρονομίᾳ τῆς ζωῆς.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ'

Τί ἐστιν ὁ παράδεισος καὶ οἷα τὰ ἐν αὐτῷ.

Ὦ ἐπὶ τὴν οὐράνιον πόλιν ψυχὴ νῦν σπεύσωμεν
καὶ αὖθις ἐπανέλθωμεν ἐν ᾗ περ κατεγράφημεν,
ἧς περ πολῖται εὐδαίμονες εἶναι ἀνεψηφίσθημεν.
Ὡς συμπολῖται ὄντες οὖν δικαίοις καὶ ἁγίοις τε
καὶ ὡς οἰκεῖοι τῷ Θεῷ καὶ κληρονόμοι τε Θεοῦ
συγκληρονόμοι τε Χριστῷ δεῦτε διασκεψώμεθα
τὴν εὐκληρίαν τῆς ἡμῶν πόλεως τὴν περίδοξον,
καθ' ὅσον οἷόν τε ἡμῖν αὐτὴν περισκεψάμεθα
καὶ εἴπωμεν δὲ καὶ ἡμεῖς μετὰ τοῦ Προφητάνακτος·
«Δεδοξασμένα περὶ σοῦ διελαλήθη πάντοτε
πόλις Θεοῦ πανένδοξος! ὡς τῶν εὐφραινομένων γὰρ
ἡ κατοικία ἔστ' ἐν σοί!» Καὶ γὰρ τεθεμελίωσαι
ἐν γε ἀγαλλιάματι, πόλις Θεοῦ, πάσης τῆς γῆς.

Οὐκ ἔσται γῆρας γὰρ ἐν σοί, οὐ γήρως τε ἀσθένεια,
οὐδὲ ταλαιπωρία τις· οὐκ ἔστ' ἐν σοὶ ἀνάπηρος,
οὐδὲ χωλός, οὐδὲ κωφός, ἀλλὰ οὐδέ τις δύσμορφος.
παρίστανται οἱ πάντες γὰρ ἐν βίου τελειότητι
εἰς μέτρον ἡλικίας τε τοῦ τοῦ Χριστοῦ πληρώματος.

Τί τὸ μακαριώτερον τοῦ βίου τοῦ τοιοῦδ' ἐστίν,
ἐν ᾧ οὐ δέος ὕπεστι πτωχείας οὐδ' ἐπιφορὰ
νοσήματος βροτολοιγοῦ, οὐ κακουχία ἔνεστιν.
Οὐδεὶς ὁ λυμαινόμενος αὐτόθι οὐδὲ ἐν ὀργῇ
ὁ χαλεπαίνων ἔστ' οὐδείς, ἐπιβασκαίνων τε οὐδείς,
οὐδὲ ἐπιφλεγμαίνει τις ὄρεξις, οὔτε βρώσεως
ὀρίνει ἐπιθυμία τις, οὔτε φιλοδοξίας τις
ἢ σπουδαρχίας τῦφός τις προσβάλλει πώποτέ τινα.
Οὐ πρὸς τοῦ διαβόλου τις ὑπάρχει πτόησις ἐκεῖ,
οὐδὲ ἐπιβουλίαι πη ἐνέδραι τέ εἰσιν ἐκεῖ
αἱ διατυρευόμεναι ὑπὸ ὀργάνων πονηρῶν
κακοδαιμόνων μοχθηρῶν. Οὐ τῆς γεέννης φόβος τις,
οὐ θάνατος τοῦ σώματος, οὐδ' ἔστι θάνατος ψυχῆς,
ἀλλὰ εὐφρόσυνός ἐστι βίος ἀθανασίας τις,
δῶρον θεοῦ ἀΐδιον. Τὸ τηνικαῦτ' οὐδὲν κακόν,
διχοφροσύνη δ' οὐδαμοῦ, τὰ πάντα δὲ ἐκεῖ εἰσι
σύμφωνα ἐναρμόνια· ἡ τῶν ἁγίων πάντων γὰρ
μία ἐστὶν ὁμόνοια. Εἰρήνη καὶ φαιδρότης δὲ
ἐκεῖ συνέχει ἅπαντα. Πάντα γαλήνιά ἐστι
καὶ ἡσυχαῖα ἅπαντα, ἡ δὲ φαιδρότης διαρκὴς
καὶ αἴγλη οὐχ οἷα ἐστὶν ἡ αἴγλη ἤδη παρ' ἡμῖν·
τόσῳ ἀγλαεστέρα δὲ ὅσῳ εὐδαιμονεστέρα τε·

ἡ πόλις γὰρ ἐκείνη γε, καθάπερ γέγραπται αὐτῇ,
ἡλίου οὐ προσδέεται, οὐδὲ σελήνης δέεται,
ἀλλὰ ἡ δόξα τοῦ θεοῦ εἰς τέλος φωτιεῖ αὐτήν,
καὶ τὸ ἀρνίον δέ ἐστιν αὐτῆς ὁ λυχνὸς ὁ λαμπρός,
ἐν ᾗ ἐκλάμψουσι φαιδροὶ οἱ ἅγιοι ὡς ἄγγελοι,
ὥσπερ ἀστέρες φαεινοὶ τοῦ θείου στερεώματος
εἰς τοὺς αἰῶνας ἅπαντας.

—

Διὸ οὐδ' ἔστι νὺξ ἐκεῖ, οὐδὲ σκοτία ἔστι τις,
οὐδὲ νεφῶν συμπίλησις, οὐδέ γε καῦσις καύσωνος,
οὐ ψύχους δὲ τραχύτης τις· οὕτω γὰρ εὐκραής ἐστιν
ἡ ἁρμοστία τῶν ἐκεῖ, οἵαν οὐκ εἶδεν ὀφθαλμὸς
καὶ οὖς οὐκ ἤκουσέ ποτε, οὐδ' ἄνθρωπος ἐπόθησεν,
εἰμὴ ὅσοι ἐγένοντο ἄξιοι τοῦ ἐπιτυχεῖν
τοιᾶσδε ἀπολαύσεως, ὧνπερ καὶ τὰ ὀνόματα
ἐγράφη ἐν τοῖς Οὐρανοῖς ἐν τῷ βιβλίῳ τῆς ζωῆς.
Ἐπὶ δὲ τοῖς ῥηθεῖσι δὴ προσγίνεται καὶ τὸ χοροῖς
Ἀγγέλων ἀναστρέφεσθαι, καὶ Ἀρχαγγέλων καὶ πασῶν
τῶν Οὐρανίων τάξεων ἀΰλων τε Δυνάμεων
καὶ τὸ θεᾶσθαι πάντοτε τοὺς Πατριάρχας ἅπαντας
καὶ τοὺς Προφήτας τοῦ θεοῦ τοὺς θείους Ἀποστόλους τε
ἀπαύστως ἐπιδέρκεσθαι, καὶ τοὺς ἁγίους σύμπαντας
καὶ δὴ καὶ τοὺς γεννήτορας τοὺς ἑαυτῶν ἑκάστοις γε.
Καὶ τάδε μὲν περίδοξα πάντα, ἀπαραθέτως δὲ
ἐστιν δόξη ὑπέροχον τὸ ἐν προσώπῳ τὸν Θεὸν
θεᾶσθαι καὶ τὸ θεῖον φῶς, τὸ ὅλως ἀπερίγραπτον
προκατοπτεύειν καθαρῶς. Καὶ γὰρ ἡ δόξα τοῦ ἰδεῖν
ἐν ἑαυτῷ τὸν Κύριον, δοξῶν πασῶν γε ἔσεται

ὀρθῶς ἡ ὑπεραίρουσα. Καὶ γὰρ ὀψόμεθα αὐτὸν
καὶ ἕξομεν ἐν ἑαυτοῖς καὶ τῆς τοιαύτης ὄψεως
καὶ θείας ἀπολαύσεως οὐκ ἔσται τέλος πώποτε.

—

ΚΕΦΑΛΑΙΟΝ ΙΓ'

Ὅτι ἄνθρωπος οὐδὲν ἔχει ὅ,τι περ ἂν τῷ Θεῷ ἀποδῷ εἰμὴ διὰ τῆς ἀγάπης.

Ἡ ψυχὴ ἐπίσημός τις οὖσα εἶναι κατ' εἰκόνα
τοῦ Θεοῦ, λαμπρὰ δὲ οὖσα καθ' ὁμοίωσιν τῷ εἶναι,
ἔχει τι δι' οὗ ἂν αὕτη παραινοῖτ' ἀδιαλείπτως,
ἤτοι ἔχει τ' ἀχωρίστως τῷ Θεῷ ἐνδιατρίβειν
ἢ τὸ πρὸς αὐτὸν ἐς αὖθις εὐθαρσῶς ἐπανιέναι,
εἴποτε ἐκ τῆς ἰδίας προαιρέσεως, ἢ μᾶλλον
δεῖ εἰπεῖν αὐτῆς κακίας, τοῦ Κυρίου ἀποσταίη·
οὗτοι μόνον δὲ συγγνώμης καὶ ἐλέους ἂν ἐλπίδι
ἔχοι ὅθεν ἀναπνεύσει, ἀλλὰ ἔτι δὲ καὶ τοῦτο
πόθεν ποτ' ἐπιθαρσήειεν, πρὸς τὸ ἐπορεχθῆναι
νυμφευθῆναι σὺν τῷ λόγῳ, τῷ Θεῷ δὲ σπεισαμένη
ἄγειν μετὰ τοῦ Δεσπότου τῶν Ἀγγέλων τῶν ἁγίων
τὸν ζυγὸν τὸν τῆς ἀγάπης τὸν γλυκὺν καὶ ἐλαφρόν τε.

—

Ταῦτα πάντα ἡ ἀγάπη ἐκτελεῖ μετὰ ἀγάπης,
ἐὰν ἡ ψυχὴ ἐκθύμως ἑαυτὴν ὁμοίαν ὅλην
παραστήσηται τῷ θείῳ, ᾧ καθομοιοῦσθαι φύσει
ὑπὸ τοῦ θεοῦ ἐπλάσθη· ἀγαπήσασα καθάπερ

δηλονότι ἠγαπήθη. Ἐν ταῖς ψυχικαῖς γὰρ πάσαις
διαθέσεσι καὶ πάσαις ταῖς κινήσεσιν ὡσαύτως,
καὶ αἰσθήσεσιν ὁμοίως ἡ ἀγάπη ἐστὶ μόνη,
καθ᾽ ἣν ἔχοι ἂν τὸ κτίσμα, εἰ καὶ μὴ ἐξ ἴσου ὅμως,
τῷ δημιουργῷ καὶ πλάστῃ ἀποκρίνασθαι ὁμοίως,
ἢ καὶ παραμείψασθαι δέ· ἔνθα ἂν προσγένηται γὰρ
ἡ ἀγάπη, τἆλλα πάντα σὺν αὐτῇ γε συνεισφέρει
καὶ αἰχμαλωτίζει πάθη· ἡ ἀγάπη αὕτη μόνη
ἐξαρκεῖ καθ᾽ ἑαυτήν γε καὶ δι᾽ ἑαυτὴν ἐπίσης
γίγνεται εὐάρεστός τε. ἡ αὐτή ἐστι καὶ ἆθλος
ἀλλὰ ἔπαθλόν τ᾽ ἐπίσης, αὕτη ἔστιν ἡ αἰτία
τοῦ καλῶς καρποφορῆσαι, ἀλλὰ καὶ καρπὸς αὐτή γε
καὶ ἡ χρῆσις αὐτὴ ἐστιν συνενούμεθα γὰρ μόνον
τῷ θεῷ διὰ ἀγάπης.

—

Ἡ ἀγάπη συγκροτεῖ ἓν πνεῦμα ἐκ δυοῖν πνευμάτοιν
ἡ ἀγάπη ἀμφοτέρους τὸ αὐτὸ ποιεῖ ἐθέλειν·
ἔργον δὲ ἀγάπης πρῶτον τὸ ἐπικοσμεῖν τὰ ἤθη
καὶ τὸ ἦθος καταρτίζειν, ἔπειτα τὸ τὰ παρόντα
θεωρεῖν ὡς μὴ παρόντα, τρίτον καὶ τὰ ἀνωτέρω
συνορᾶν δεῖ τῆς ψυχῆς σου βλέμματι καθαρωτάτῳ
τῆς καρδίας, ἐν αὐτῇ τε τὰ μυχαίτατα δὲ πάντα.
Διὰ τῆς ἀγάπης πάντα τὰ τοῦ βίου κατορθοῦται
τὰ καθήκοντα καὶ τἆλλα Ἐφεξῆς δὲ τὰ τοῦ κόσμου
τὰ ἐν τῷ αἰῶνι τούτῳ τὰ τιμώμενα μεγάλως
ἅπαντα καταφρονεῖται. τελευταῖον, τελευταῖον
καὶ αὐτὰ τὰ ἐν τῷ θείῳ ἔνδον ὄντα καθορᾶται.

———

ΚΕΦΑΛΑΙΟΝ ΙΘ΄.

Ὅτι ὁ Θεός ἐν ἡμῖν ἀπαιτεῖ τὸ καθομοίωσιν τὴν ἑαυτοῦ.

Ὁ Θεὸς καὶ Πατὴρ ὁ ἀεὶ ὢν
ἡ ἀγάπη αὐτή ἐστιν αὕτη·
ὁ Θεὸς ὁ Υἱός τε καὶ Λόγος
ἡ ἀγάπη ἐστὶν ἡ τελεία·
καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐστιν
τοῦ Πατρὸς καὶ Υἱοῦ ἡ ἀγάπη·
ἡ δ᾽ ἀγάπη αὐτὴ ὅμοιόν τι
ἀπαιτεῖ παρ᾽ ἡμῶν τῶν ἀνθρώπων,
δηλονότι αὐτὴν τὴν ἀγάπην
δι᾽ ἧς ὡς ἂν διὰ συγγενείας
οἰκειώσεώς τε καὶ φιλίας
συναπτοίμεθ᾽ αὐτῷ τῷ Κυρίῳ
καὶ ἑνοίμεθα ἀδιασπάστως.
Ἡ ἀγάπη ἡ θεία ἀγάπη
ὑπερέχειν τῶν ἄλλων οὐκ οἶδεν,
ἀλλὰ καὶ ὑποστέλλεσθαι πάμπαν
οὐκ ἐπίσταται αὖ ἡ ἀγάπη.
Ὁ ἀγάπης ὢν πεπληρωμένος
τῷ Θεῷ καθ᾽ αὐτὸν προσπελάζει
καὶ προσφθέγγετ᾽ αὐτῷ πεποιθότως
καὶ συνήθως μηδὲν ὑποπτήσσων
μηδὲ ὑποστελλόμενος ὅλως.



Ἀλλ᾿ ὁ μὴ ἀγαπῶν τὴν ἀγάπην
τὸν Θεὸν καὶ Δεσπότην τῶν ὅλων
ἐξαπόλλυσιν ὅ,τι ἂν ἔχοι
καὶ αὐτὸ ὅτι ζῶν ἐστιν οὗτος·
ὅστις δὲ ἀγαπᾷ τὴν ἀγάπην
τὸν Θεὸν ἀπὸ μέσης καρδίας
πρὸς αὐτὸν ἐς ἀεὶ ἀποστρέφει
ὀφθαλμοὺς καὶ ψυχὴν καὶ καρδίαν,
ὃν ποθεῖ ἀγαπᾷ καὶ λατρεύει,
καὶ ἐν ᾧ μελετᾷ εὐφροσύνως,
περὶ ὃν τε εὐφραίνεται ὅλος,
δι᾿ οὗ τρέφεται πιαίνεταί τε.

—

Ὁ ταύτῃ τῇ ἀγάπῃ γε ὡσιωμένος τῷ Θεῷ
οὕτως ἐπᾴδει ἐς ἀεί, οὕτως ἀναγινώσκει τε,
οὕτως δὲ προνοητικῶς καὶ περιεσκεμμένως τε
ἐν πάσαις ἔχει ἑαυτοῦ ταῖς πράξεσιν, ὡς εἰ παρῆν
ἀδιαλείπτως ὁ Θεὸς ἐνώπιον τῶν ὀφθαλμῶν
αὐτοῦ, ὡς ὄντως πάρεστιν· οὕτω προσεύχεται αὐτὸς
ὡς εἰ εἴη ἀναληφθεὶς καὶ πρὸ τοῦ θρόνου τοῦ Θεοῦ
εὑρίσκοιτο παρεστηκὼς τῆς δόξης ἐν τοῖς ὑψηλοῖς,
ἔνθα ὑμνοῦσι τὸν Θεὸν καὶ λειτουργοῦσι τε αὐτῷ
Ἀγγέλων ἀριθμὸς πολύς, καὶ παρεστήκασιν αὐτῷ
ἐν χιλιάσιν Ἄγγελοι καὶ μυριάσ᾿ Ἀρχάγγελοι
καὶ Χαιρουβείμ, καὶ Σεραφείμ, θρόνοι καὶ Κυριό-/τητες.


Ἣν δ᾿ ἂν ψυχὴν ἄρα ποτὲ ἡ ἔνθεος οὕτως εἰπεῖν
ἀγάπη ἐπισκέψαιτο, μαλθάζει ταύτην καὶ κινεῖ

ἐγείρει τε καθεύδουσαν, καὶ τραυματίζει τὴν αὐτῆς
καρδίαν ἔρωτι σφοδρῷ καὶ διαυγάζει τῷ φωτὶ
τὰ σκοτισθέντα ἐν αὐτῇ, καὶ διανοίγει ἅπαντα
τὰ ἐμφραγέντα ἐν αὐτῇ καὶ διακαίει τῷ πυρὶ
τὰ ψυχρανθέντα ἐν αὐτῇ, ἀλλὰ καὶ χαλεπότητα
καὶ ἀπληστίαν πᾶσάν τε καὶ ὀργιλότητα αὐτῇ
ἐγειρομένην πάραυτα διαπραΰνει σταθερῶς
καὶ φυγαδεύει τὰς λοιπὰς τῶν ἐν αὐτῇ μοχθηριῶν,
τὰς προσπαθείας αὖθις δὲ καταπιέζει τῆς σαρκός,
τὰ ἤθη ἐπιδιορθοῖ, τὸ πνεῦμα δὲ μεταμορφοῖ
καὶ ἐγκαινίζει ἐν αὐτῇ, ἀναχαιτίζει πάλιν δὲ
τῆς ἡλικίας τὰς ὁρμὰς τῆς εὐολίσθου τὰς σφοδρὰς
καὶ κούφους ἀπεργάζεται. Ταῦτα δὴ πάντα ἐκτελεῖ
ἡ θεία ἀγάπη ἕωσ᾿ ἂν παρῇ· ἀποιχομένης αὖθις δὲ
οὕτω παρεῖσθαι ἡ ψυχὴ ἐξατονεῖν τε ἄρχεται,
ὡς ἂν εἰ ἀπὸ λέβητος ὑπὸ πυρὸς ἐκζέοντος
τὸ πῦρ ἀφέλοιτο ἄν τις τὸ ὑποεκκαιόμενον.

ΚΕΦΑΛΑΙΟΝ Κ΄.

Περὶ πεποιθήσεως ψυχῆς τῆς τὸν Θεὸν ἀγαπώσης


Ἡ ἀγάπη ὡς μέγα τί ἐστιν
ἀγαθὸν τῇ ψυχῇ, δι᾿ ἧς αὕτη
τῷ Θεῷ πεποιθότως προστρέχει!
τῷ Θεῷ τε στερρῶς προσκολλᾶται,
τὸν Θεὸν ἐρωτᾷ τε συνήθως



καὶ βουλεύεσθαι δὲ προαιρεῖται
περὶ πάντων τῶν ἀπορημάτων.
Ἡ ψυχὴ ἡ Θεὸν ἀγαπῶσα
οὐδὲν ἕτερον ἔχει νοῆσαι,
οὐδὲν ἕτερον φθέγξασθαι ἔχει,
ὀλιγώρως πρὸς ἅπαντα ἔχει
ἀηδῶς τε διάκειται τούτοις·
ὁτιδήποτε ἂν μελετῴη,
ὁτιδήποτε αὕτη ἂν φράζῃ,
τοῦτο γεῦσιν ἀγάπης ἐνέχει
καὶ ὀσμὴν εὐωδίας ἐκφέρει.
Οὕτως οὖν τοῦ Θεοῦ ἡ ἀγάπη
τὴν ψυχὴν ἑαυτῇ τὴν τοιάνδε
ᾠκειώσατο μετ' εὐμενείας
καὶ περιεποιήσατο αὕτη.
Πᾶς τις οὖν ὁ ἐπίγνωσιν θέλων
τοῦ Θεοῦ ἀμετάβλητον ἔχειν
τὸν Θεὸν ἀληθῶς ἀγαπάτω
ἀπὸ μέσης ψυχῆς ἐγκαρδίως.
Ὁ μὴ ἔχων ἀγάπην τελείαν
πρὸς αὐτὸν τὸν Θεὸν τῆς ἀγάπης
μάτην οὗτος, ναί, ἐπιλαμβάνει
τοῦ Θεοῦ πέρι ἀναγινώσκειν
μελετᾶν τε καὶ ἀνακηρύττειν
καὶ προσεύχεσθαι, ἐπικαλεῖσθαι.
Ἡ ἀγάπη τοῦ θείου ἀγάπην
τὴν ἀπὸ τῆς ψυχῆς ἀποτίκτει
καὶ ἐντείνεσθαι ταύτην ἀπαύστως

ἑαυτῇ αὕτη παρασκευάζει.
Ἀγαπᾷ τὸν Θεὸν ἡ ψυχὴ γὰρ
ἐφ' ᾧ δὴ καὶ αὐτὴ ἀγαπᾶσθαι·
ἀγαπῶσα δ' οὐ βούλεται ἄλλο,
ἀλλὰ μόνην τὴν θείαν ἀγάπην,
εὖ δὴ τοῦτο τελείως εἰδυῖα
ὅτι διὰ τῆς θείας ἀγάπης
οἱ αὐτοὺς ἀγαπήσαντες μόνοι
καὶ μακάριοι δύνανται εἶναι.

Ἡ ψυχὴ ἡ Θεὸν ἀγαπῶσα
ἀποτάσσεται ἐπιθυμίαις
ἑαυτῆς καὶ ταῖς ἄλλαις ἁπάσαις,
ἐπὶ δὲ τὴν ἀγάπην τὴν θείαν
μόνην ἔγκειται ὅλη καθ' ὅλου,
ὡς ἂν καὶ ἀντομείβεσθαι ἔχοι
τῇ ἀγάπῃ τὴν θείαν ἀγάπην·
ὅλης δ' οὕτως διαχεομένης
τῆς ψυχῆς εἰς ἀγάπησιν ταύτης,
ὢ ἡλίκη τις ἆρά γέ ἐστιν
ἡ ἐπίρροια πρὸς τὴν ἑτέραν,
τὴν πηγὴν τὴν ἀέναον ὄντως;
Οὔκουν ἄρα ἐν τῇ δαψιλείᾳ
τῆς ἀγάπης ἐξ ἴσου συντρέχει
ἡ ἀγάπη τοῦ ἠγαπημένου
καὶ ἐκείνη ἡ τοῦ ἀγαπῶντος,
ἡ ψυχὴ καὶ Θεὸς οὐκ ἐξ ἴσου,
οὔτε κτίσμα καὶ κτίστης ἐξ ἴσου,



ἀλλὰ εἴπερ ἐξ ὅλης ἰσχύος
ἡ ψυχὴ ἑαυτῆς ἀγαπῴη,
οὐδὲν ἄπεστιν ἔνθα τὸ ὅλον
τῆς ἀγάπης τῆς θείας ὑπάρχει.
Ἡ ψυχὴ ἡ θεὸν ἀγαπῶσα
δεδιέτω μηδὲν ἐν τῷ κόσμῳ·
δεδιέτω καὶ λίαν φοβείσθω
ἡ ψυχὴ ἡ θεὸν μὴ φιλοῦσα.

—

Ἡ ψυχὴ ἡ θεὸν ἀγαπῶσα
ταῖς εὐχαῖς πρὸς Θεὸν διατρίβει,
ταῖς ἐφέσεσιν ἕλκεται ὅλη,
ἀλογεῖ τῆς ἀξιοπρεπείας,
ὀφθαλμοὺς διανοίας συμμύει
πρὸς τὸ ὕψος καὶ τὸ μεγαλεῖον,
καὶ ἀνοίγνυσιν πρὸς τὸ ἐφῆδον,
ἀνατίθησιν αὖ ἑαυτὴν δὲ
ἐπ᾽ αὐτὸ δὴ τὸ σωτηριῶδες
κἂν αὐτῷ πεποιθότως διάγει.
Ἡ ψυχὴ καὶ διὰ τῆς ἀγάπης
ἐκχωρεῖ πως ἀπὸ τῶν γηΐνων,
τῶν τοῦ σώματος αἰσθήσεών τε
ἀπεξίσταται κἀναισθητεῖ πως
ἑαυτῆς τοῦ θεοῦ αἰσθομένη.
Τοῦτο δὲ ἐκτελεῖται ὁπόταν
ἑαυτόν πως ὁ νοῦς ὑποκλέπτει
ὑπὸ τῆς ἐν θεῷ τῷ Κυρίῳ

εὐφροσύνης τῆς ἀνερμηνεύτου
ἐπιθελγόμενος ἀπορρήτως,
ἤτοι μᾶλλον ἁρπάζεται ὅλος
καὶ αὐτὸς ἑαυτοῦ διεκπίπτει
ἵνα τοῦ ἀγαθοῦ ἀπολαύσει,
τοῦ ἐνθέου ἐν ἀγαλλιάσῃ.
Οὐδὲν οὕτω γὰρ ἀγαλλιῶδες,
εἰ μὴ οὕτω βραχέως τελοῖτο.
Ἡ ἀγάπη ἡ θεία μνηστεύει
τὴν οἰκείωσιν τὴν πρὸς τὸ θεῖον,
ἡ οἰκείωσις δίδωσι θάρσος,
τὸ δὲ θάρσος προσδίδωσι γεῦσιν,
ἡ δὲ γεῦσις χαρίζεται πεῖναν.
Ἡ ψυχή, ἧς ὁ ἔρως ὁ θεῖος
προσεφάπτεται διαθερμαίνων,
οὐδὲν ἕτερον δύναται πλέον
συλλογίζεσθαι ἐπιποθεῖν τε,
ἀλλὰ στένουσα λέγει ἀπαύστως·
ὁ Θεός μου πρὸς Σὲ ἡ ψυχή μου
ἐπισπεύδει καὶ ἐπιποθεῖ σου
ὅνπερ τρόπον ἡ ἔλαφος σπεύδει
τὰς πηγὰς τῶν ὑδάτων ποθοῦσα.

———



ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Τί ὁ Θεὸς ὑπὲρ τοῦ ἀνθρώπου εἰργάσατο.

*Ἐξ ἀγάπης εἰς ἀνθρώπους ἐπεδήμησεν ἐν κόσμῳ
τοῦ θεοῦ πατρὸς ὁ λόγος, ὁ θεὸς δὲ ἐν ἀνθρώποις
ἄνθρωπος διεμορφώθη.
Ὁ θεὸς ἀπὸ ἀγάπης ὁ ἀόρατος ὡράθη,
ὅμοιος ἐγένετο δὲ ὁ Δεσπότης τοῖς ἀνθρώποις.
Ὁ Θεὸς ἀπὸ ἀγάπης πρὸς ἡμᾶς ἐτραυματίσθη
ἀπολούων ἁμαρτίας.
Παντελὴς στερρά τέ ἐστιν ἅπασι τοῖς ἀσθενέσι
καὶ ἁμαρτωλοῖς τε πᾶσιν ἡ ἀνάπαυσις ἐκ πάντων
ἐν τοῖς τραύμασι τοῦ θείου λυτρωτοῦ Χριστοῦ Σωτῆρος.
Κατοικῶ ἐν ἀσφαλείᾳ ἔνθα διανέῳκταί μοι
τοῦ ὑπὲρ ἡμῶν παθόντος σπλάγχνα διὰ τῶν μωλώπων,
οὓς ὑπὲρ ἐμοῦ ὑπέστη.
Ὅ,τι ἂν ἐμοὶ ἐνδέοι παρ' ἐμοῦ, ἀπὸ τῶν σπλάγχνων
ἄρνυμαι τῶν τοῦ Κυρίου· δαψιλῶς γάρ μοι ἐκεῖθεν
ἀπορρέει τὰ ἐλέη, οὐδ' οἱ ὀχετοὶ δι' ὧν μοι
ῥεύσειαν ἄπεισιν ὅλως.
Δῆλά μοι τὰ τῆς καρδίας τὰ ἀπόκρυφα ἐκείνου
διὰ τῶν αὐτοῦ τραυμάτων τῆς σαρκός, ἣν ἐνεδύθη.
ἀποκεκάλυπταί μοι τὸ μυστήριον τὸ μέγα
τῆς αὐτοῦ φιλανθρωπίας.
Καὶ ἀνέῳκται τὰ σπλάγχνα τὰ οἰκτίρμονα τοῦ θίεου
λυτρωτοῦ ἡμῶν Σωτῆρος. Ἐπεσκέψατο ἡμᾶς γὰρ
ἡ Ἀνατολὴ ἐξ Ὕψους.*

*Τὰ τοῦ Σωτῆρος Ἰησοῦ Χριστοῦ παντοῖα τραύματ
ἐστὶν ἐλέους ἔμπλεα, καὶ οἴκτου ἔμπλεά εἰσιν
ἀγάπης καὶ γλυκύτητος. Ὤρυξαν χεῖρας τὰς αὐτοῦ
καὶ πόδας ἐπὶ τοῦ σταυροῦ καὶ λόγχῃ δὲ διένυξαν
τὴν ἄχραντον πλευρὰν αὐτοῦ. Διὰ δὲ τούτων τῶν ὀπῶ
γεύσασθαι ἔνεστιν ἐμοὶ ἰδεῖν τε ὅσον μοι χρηστὸς
ὁ Κύριός μου καὶ Θεός. «Ὅτι χρηστὸς ὁ Κύριος
εἰς ἄκρον τε ἐπιεικὴς καὶ πᾶσι πολυέλεος
τοῖς ἐκζητοῦσι τὸν Θεὸν ἐν ἀληθείᾳ πάντοτε
καὶ ἐπικαλουμένοις δὲ καὶ ἀγαπῶσί τε αὐτὸν
διαφερόντως ἐκ ψυχῆς».
Ἐξόχως περιούσιος ἐδόθη ἡ ἐξαγορὰ
ἐν τοῖς τοῦ Ἰησοῦ Χριστοῦ Σωτῆρος ἡμῶν τραύμασιν.
Ὡς μέγα τῆς χρηστότητος τὸ πλῆθος καὶ τὸ πλήρωμ
τῆς χάριτος τῆς πρὸς ἡμᾶς, καὶ τῆς ἰσχύος τῆς αὐτοῦ
καὶ τῆς δυνάμεως αὐτοῦ τῆς θείας τὸ ὑπερτελές.*

ΚΕΦΑΛΑΙΟΝ ΚΒ'

Περὶ ἀναμνήσεως τῶν μωλώπων τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

*Ὁπόταν μου τὸν νοῦν αἰσχρὰ προσβάλλῃ τις ἐνθύ-
[μησις,
ἐπὶ τὰς τοῦ Χριστοῦ πληγὰς αὐτίκα τρέχω ἐν σπουδῇ,
ὅταν ἡ σὰρξ πιέζῃ με διὰ τῆς ἀναμνήσεως*

τῶν τοῦ Κυρίου μου πληγῶν, εὐθέως ἐξανίσταμαι·
ὁπόταν ὁ διάβολος ἐνέδρας ὑποστήσῃ μοι,
ἐπὶ τὰ ἐλεήμονα προσφεύγω σπλάγχνα τοῦ Χριστοῦ,
καὶ φεύγει τότε ἀπ' ἐμοῦ.
Ἐὰν ἀκολασίας τις ἐκπύρωσίς μοι ἐγερθῇ,
διὰ τῆς μνήμης τῶν πλήγων καὶ τῶν μωλώπων τοῦ [Χριστοῦ
ταχέως ἀποσβέννυται.
Ἐφ' οἱασοῦν ἐν βίῳ μου ἀντεπανισταμένης μοι
δυσκόλου περιστάσεως οὐδὲν ἐφεῦρον φάρμακον
τοσοῦτον ὂν δραστήριον, ὡς τοῦ Χριστοῦ τὰ τραύματα·
ἐν τούτοις ἀσφαλῶς ἐγὼ καθεύδω τε καὶ ἀδεῶς
τελείως ἀναπαύομαι.

Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν ὑπὲρ ἡμῶν ἀπέθανεν·
οὐδὲν οὕτω κατάπικρον ἕως θανάτου ἔνεστιν,
ὡς τὸ μὴ ἐκδεχόμενον ἄκεσιν τὴν σωτήριον
διὰ θανάτου τοῦ Χριστοῦ· ἡ πᾶσα γὰρ ἐμὴ ἐλπὶς
ἐν τῷ τοῦ Ἰησοῦ Χριστοῦ θανάτῳ ἐναπόκειται.
Ὁ θάνατος αὐτοῦ ἐστιν ἡ ἀξιομισθία μου
αὐτός μου ἡ καταφυγή, αὐτὸς ἡ σωτηρία μου,
ἡ πρὸς ζωὴν αἰώνιόν ἐστί μου ἐξανάστασις.
Ἐστ' ἀξιομισθία δὲ ἐμὴ ἡ τοῦ Κυρίου μου
φιλευσπλαγχνία ἄπειρος, οὐδὲ ἐγὼ ἀνάξιος
τυγχάνω πάντῃ τοῦ μισθοῦ, ἐφ' ὅσον ὁ Θεὸς ἡμῶν
ὁ Κύριος τῶν οἰκτιρμῶν καὶ τοῦ ἐλέους ἀφ' ἡμῶν
ὡς ἀγαθὸς οὐκ ἄπεστι· καὶ εἴπερ τοῦ Κυρίου μου
πολλοί εἰσιν οἱ οἰκτιρμοὶ λίαν εἰμί τε καὶ αὐτὸς

ἐλέους ἀξιόμισθος.
Ὅσῳ γὰρ εἰς τὸ ἐλεεῖν καὶ σώζειν ὁ Σωτὴρ ἡμῶν
ὑπάρχει κραταιότερος, τοσούτῳ καὶ ἐγὼ αὐτὸς
εἰς τὸ σωθῆναι ὑπ' αὐτοῦ ὑπάρχω ἀσφαλέστερος.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ'.

Ὅτι ἡ τῶν Χριστοῦ μωλώπων ἀνάμνησις φάρμακόν ἐστιν κατὰ πάσης ἀντιφερομένης ἐπηρείας δραστηριώτατον.

Ἁμαρτίαν καὶ μεγάλην ἥμαρτον θανάσιμόν τε
καὶ ἐγκλήμασι ποικίλοις καὶ πολλοῖς συνεχομένῳ
ἐμαυτῷ σύνοιδα, Σῶτερ, καὶ οὐδ' οὕτω καταπίπτω
ἔμπης ἐν τῇ ἀπογνώσει, εὖ εἰδὼς τὸ ἔλεός σου·
ὅπου γὰρ ἡ ἁμαρτία ἐπλεόνασεν, ἐκεῖσε
ἐπλεόνασεν ἡ χάρις. Ὁ γὰρ ἀνελπίστως ἔχων
ὅτι λήψεται συγγνώμην τῶν αὐτοῦ ἁμαρτημάτων,
οὗτος τῇ ἀπελπισίᾳ τῷ Θεῷ τῷ φιλανθρώπῳ
ἀπαναίνεται τὰ σπλάγχνα τὰ οἰκτίρμονα τοῖς πᾶσιν.
ὕβριν τῷ Θεῷ προστρίβει, ὅστις δυσπιστεῖ ἀφόβως
πρὸς τὸ ἔλεος τὸ θεῖον· τὸ ἐφ' ἑαυτῷ ἀρνεῖται
τὴν ἐν τῷ Θεῷ ἀγάπην, τὴν ἀλήθειαν τὴν θείαν
καὶ τὴν δύναμιν τὴν θείαν, ἐν οἷς πᾶσα ἡ ἐλπίς μου
ἔστι καὶ ὑφίσταταί γε· μάλιστα ἐρείδεταί τε
ἐν τῇ ἄκρᾳ ἀγαπήσει τῇ ἐμοὶ δαψιλευθείσῃ

διὰ τῆς υἱοθεσίας, ἐν αὐτῇ τῇ ἀληθείᾳ
τῇ ἐμοὶ ἀναγγελθείσῃ κατὰ τὴν ἐπαγγελίαν τὴν δο-
[θεῖσαν τοῖς ἀνθρώποις,
ἐν αὐτῇ τε τῇ δυνάμει τῇ λαμπρῶς ἐκδηλωθείσῃ
ἐπὶ τῆς ἐκτελεσθείσης θαυμαστῆς ἐξαγορᾶς μου.
Γογγυζέτω παραφρόνως ἡ πολλή μου ἀφροσύνη,
ὅσον ἂν καὶ βούλοιτ' αὕτη, εὖ διαλογιζομένη
λέγουσά μοι· τίς γὰρ σὺ εἶ; καὶ ἡλίκη τις ἡ δόξα
ἡ ἐν τῷ θεῷ ἐκείνη; ἐπὶ τίσιν ἀγαθοῖς δὲ
ἔργοις πέποιθας ἐκείνης οὔ ποτε ἐπαπολαύσειν;
Καὶ αὐτὸς θαρρούντως τότε ἀποκρίνομαι πρὸς ταύτην,
οἶδ' ἐγὼ ὦ ἀφροσύνη οἶδα καὶ καλῶς γιγνώσκω
ᾧ πεπίστευκα Σωτῆρι· οἶδα γὰρ ἡλίκη ὅση
ὁ Σωτήρ μου ἀγαπήσει ἐνηυδόκησεν ἐκ σπλάγχνων
[καὶ ἐμὲ υἱοθετῆσαι.

Οἶδα τὴν ἐπαγγελίαν, ὅτι ἀψευδὴς ὑπάρχει,
δυνατὸς δὲ ἐστὶν αὖθις τὴν ἐπίδοσιν ποιῆσαι·
ἔξεστιν αὐτῷ ποιεῖν γὰρ ὅσα ἐὰν βουληθείη.

—

Οὐ φοβεῖσθαι ἔχω ὅλως διὰ τῶν ἐμῶν πταισμάτων
καὶ ἁμαρτιῶν τὸ πλῆθος, φέρων ἐν τῇ διανοίᾳ
θάνατον τὸν τοῦ Κυρίου, ὅτι τὰ ἡμαρτημένα
ὑπ' ἐμοῦ τὴν εὐσπλαχνίαν τὴν ἐκείνου ὑπερβάλλειν
ὅλως ἐξαδυνατοῦσιν. Οἱ γὰρ ἧλοι καὶ ἡ λόγχη
ἰσχυρῶς κεκράγασί μοι ὅτι τῷ Χριστῷ Σωτῆρι
ἀληθῶς συνδιηλλάγην, ἂν αὐτὸν ἐξαγαπήσω.
Ὁ Λογγῖνος ἤνοιξέ μοι τὴν πλευρὰν Χριστοῦ τῇ
καὶ ἐγὼ αὐτῇ εἰσέδυν καὶ ἐντοῦθ' ἐν ἀσφαλείᾳ [λόγχῃ

ἀναπαύομαι τελείᾳ. Ὁ φοβούμενος τὴν κρίσιν
τὸν Θεὸν ἀγαπησάτω. Ὅτι ἔξω ἡ ἀγάπη
τοῦ Θεοῦ τὸν φόβον βάλλει. Οὐδὲν ἰσχυρὸν γὰρ οὕτω
καὶ δραστήριον τοσοῦτον κατὰ τῆς ἀκολασίας
τῆς φλογὸς φάρμακον ἔστιν, ὡς ὁ τοῦ ἐμοῦ Σωτῆρος
θάνατος ὁ ζωοδότης. Ἐπὶ τοῦ σταυροῦ ἐκεῖ γὰρ
τοὺς βραχίονας τανύσας ἥπλωσεν αὐτοῦ τὰς χεῖρας
τοὺς ἁμαρτωλοὺς ἑτοίμως ἔχων ἐναγκαλισθῆναι
προσιόντας μετ' ἀγάπης πίστεώς τε καὶ ἐλπίδος·
ἐν ταῖς τοῦ ἐμοῦ Σωτῆρος Ἰησοῦ ἀγκάλαις θείαις
ζῆν ἐθέλω, ἀλλ' ἐπίσης καὶ θανεῖν ἐφίεμαί γε·
ἐν αὐταῖς ἐν ἀσφαλείᾳ ᾄσομαι καὶ θαρραλέως,
»Κύριέ μου σὲ ὑψώσω, ὅτι Σὺ ὑπέλαβές με
καὶ οὐκ εὔφρανας ἐχθρούς μου ἐπ' ἐμὲ χαιρεκα-
[κοῦντας»


Ὁ Σωτήρ μου τὴν ἁγίαν κεφαλὴν ἐσταυρωμένος
ἔκλινεν ἐν τῷ ἐκθνήσκειν, ὡς καταφιλῆσαι θέλων
οὓς ἠγάπησεν ἐν κόσμῳ.
ὁποσάκις μετ' ἀγάπης ὅλως κατανενυγμένοι
τὸν σταυρὸν καταφιλοῦμεν,

—

ΚΕΦΑΛΑΙΟΝ ΚΑ'.

Ψυχὴ μελέτην ποιουμένη τὴν Χριστοῦ ἀγάπην.

Ψυχή μου ἡ κατ' εἰκόνα Θεοῦ διακοσμηθεῖσα
καὶ αἵματι τῷ τιμίῳ Χριστοῦ ἐξαγορασθεῖσα,



ἡ πίστει τε μνηστευθεῖσα, τῷ Πνεύματι προικισθεῖσα
καὶ ἀρεταῖς θειοτέραις λαμπρῶς ἐπαγλαϊσθεῖσα,
'Αγγέλοις καταταχθεῖσα τὸν σὲ φιλήσαντα φίλει
τῷ προσανέχοντι πρόσεχες, τὸν ἐκζητοῦντά σε ζήτει
τὸν ἀγαπήσαντα φίλει καὶ σὲ προφθάσαντα σῶσαι
καὶ ἀγαπῆσαι τοσοῦτον καὶ δὴ παραίτιον ὄντα
καὶ τῆς ἀγαπήσεώς σου.
Αὐτὸς γάρ σοι καὶ ὁ ἆθλος αὐτός τε τὸ ἆθλον ἔστιν,
αὐτὸς καρπὸς τῆς ἀγάπης καὶ ἡ ἀπόλαυσις οὗτος,
αὐτὸς ὁ τέρμων σοί ἐστιν, μελέτω δή σοι ἐκείνου
ᾧ δή τινι καὶ σοῦ μέλει. 'Ενασχολοῦ μελετῶσα
περὶ τὸν σὲ προσκαλοῦντα· καὶ καθαρὰ διατέλει
μετὰ τοῦ καθαροῦ οὖσα, μετὰ τοῦ θείου ἁγία.
Οἵα περ γὰρ ἂν αὐτὴ ἦς καὶ παραστῇς τῷ Κυρίῳ,
εἰκὸς τοιοῦτον κἀκεῖνόν σοι παραστήσεσθαι πάντες.
ὁ γὰρ χρηστὸς καὶ οἰκτίρμων καὶ πολυέλεος πέλων
πραΰς τε ἐπιεικής τε, χρηστοὺς ὡσαύτως πραεῖς τε,
ἐπιεικεῖς ταπεινούς τε καὶ ἐλεήμονας θέλει
τοὺς τέκνα ἑαυτοῦ ὄντας·
ἀγάπησον τὸν ἐκ λάκκου ταλαιπωρίας καὶ πόνου,
ἀπὸ πηλοῦ τε ἰλύος, ψυχή, σὲ ἐξαγαγόντα.

ὑπὲρ πάντας σου τοὺς φίλους ἔχειν προελοῦ σὺ φίλον
τὸν ὁπόταν ἅπαντά σοι τὰ ἐκ γῆς ὑφαιρεθείη
μόνον σοι τηρήσοντα τὴν ἁγιάζουσάν σε πίστιν.
τῇ ἡμέρᾳ γὰρ ἐκείνῃ τῇ τοῦ ἐνταφιασμοῦ σου,
ἐπειδὰν οἱ φίλοι πάντες σοῦ ἀφεστηκότες ὦσιν,
οὐκ αὐτὸς σε καταλείψει, ἀλλ' ἀπὸ τῶν βρυχωμένων

κατὰ σοῦ θηρῶν ἀγρίων καὶ κατάβρωμα σὲ θέσθαι
ἐν στιγμῇ ἑτοίμων ὄντων δυνατὸς ὢν σὲ φυλάξει
ἀσφαλῶς τε σ' ὁδηγήσει δι' ἀγνοουμένης χώρας
καὶ προσάξει σε ταχέως ἐπὶ τὰς λαμπρὰς πλατείας
τῆς ὑπερκειμένης χώρας τῆς Σιὼν τῆς Οὐρανίου·
καὶ ἐκεῖ μετὰ 'Αγγέλων κατ' ἐνώπιον τῆς θείας
ἑαυτοῦ μεγαλωσύνης μετὰ τῶν πνευμάτων στήσει,
ἔνθα τότε διακούσεις τὸ 'Αγγελικὸν ἐκεῖνο
ᾆσμα· Ἅγιος, ἁγίων ἅγιος ἅγιος ἔστιν.
ἔνθ' ᾠδὴ τῆς εὐφροσύνης καὶ φωνὴ τῆς σωτηρίας
τῆς ἀγαλιάσεώς τε καὶ φωνὴ εὐχαριστίας
καὶ αἰνέσεως παντοίας· ἐξηχεῖ τε ἀϊδίως
ἀλληλούϊα ἐκεῖσε. Ὁ σωρὸς ἐκεῖ ὑπάρχει
τῆς ἀφάτ' εὐδαιμονίας ἡ ἐξέχουσά τε δόξα
καὶ ἡ ἄκρα χαρμοσύνη καὶ τὰ ἀγαθὰ δὴ πάντα.

Ὦ στέναξον, ψυχή, θερμῶς, καὶ πόθησον, ψυχὴ [σφοδρῶς,
ἵν' ἐφίκεσθαι δυνηθῇ ἐπὶ τὴν πόλιν τοῦ Θεοῦ
Σιὼν τὴν ὑπερκόσμιον, δεδοξασμένα οὕτω γὰρ
διελαλήθη δι' αὐτήν· εὐφραινομένων πάντων γὰρ
ἡ κατοικία ἐν αὐτῇ. Διὰ ἀγάπης ἐπ' αὐτὴν
δυνήσῃ ἀναβῆναι σὺ τῷ ἀγαπῶντι γὰρ οὐδὲν
ἀδύνατον ἢ δυσχερές. Ἡ ἀγαπῶσα τὸν Θεὸν
ψυχὴ ἀνέρχεται ἀεὶ καὶ διαθέει συνεχῶς
τῆς ἄνω Ἱερουσαλὴμ πλατείας τὰς φωτολαμπεῖς
συνεντυγχάνουσα ἐκεῖ τοῖς Πατριάρχαις ἐν χαρᾷ
καὶ τοῖς προφήταις τοῦ Θεοῦ καὶ κατασπαζομένη δὲ



τοὺς Ἀποστόλους τοῦ Χριστοῦ, θαυμάζουσά τε τοὺς
[στρατοὺς
τῶν Οὐρανίων στρατιῶν Μαρτύρων Ὁμολογητῶν
καὶ θεωμένη τοὺς χοροὺς παρθένων τῶν δοξασθεισῶν·
Ὁ Οὐρανός τε καὶ ἡ γῆ καὶ ἅπαντα τὰ ἐν αὐτοῖς
οὐ παύονταί μοι συνεχῶς ὑπαγορεύειν ἀγαπᾶν
τὸν Κύριόν μου καὶ Θεόν.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ΄.

Οὐδέν, πλὴν ἡ τῶν ἀγαθῶν τὸ ἀκρότατον οἷόν τε ἐστὶ τῇ ψυχῇ ἐξαρκέσαι.

Ἡ καρδία τοῦ ἀνθρώπου ἡ μὴ κατεστηριγμένη
ἐκ τοῦ πόθου τοῦ ἀπείρου τῆς αἰωνιότητός τε
οὔ ποτε ἀτρέμας ἔχει ἵστασθαι· εὐστροφωτέρα
οὖσα πάσης εὐστροφίας, ἀφ᾽ ἑτέρου μεταβαίνει
ἐπὶ ἕτερον ἀπαύστως ἐπανάπαυσιν ζητοῦσα,
ἔνθ᾽ ἀνάπαυσις οὐκ ἔστιν.
Ἀλλ᾽ ἐν τούτοις γὰρ δὴ πᾶσι τοῖς ταχὺ παρερχομένοις
καὶ τοῖς μεταπίπτουσί τε, ἐν οἷς πᾶσαι ἐγκυκλοῦνται
τῆς ψυχῆς τῆς ἀστατούσης αἱ προσπάθειαι καὶ κλίσεις,
ἐπανάπαυσιν εὑρέσθαι ἀληθῆ τε καὶ ἑδραίαν
οὔτοι δύναται καθ᾽ ὅλου, ἅτε δὴ μετέχουσά γε
τηλικαύτης τῆς ἀξίας ἢ ἐν μηδενὶ ἑτέρῳ
εἰ μὴ ἐν τῷ ἀκροτάτῳ ἀγαθῷ τῷ θειοτάτῳ

ἐξαρκεῖσθαι ἂν πεφύκοι. Ἐπειδὴ αὐτῇ τοσαύτης
μέτεστιν ἐλευθερίας ὥστε μή δὴ ἐξ ἀνάγκης
ὑπὸ μηδενὸς παράπαν ἐκβιάζεσθαι καθ᾽ ὅλου·
οὗ δὴ χάριν καὶ ἑκάστῳ θέλησις ἡ ἑκουσία
τῆς ἰδίας σωτηρίας εἴτε καὶ τῆς καταδίκης
πρόξενος γίνεται μόνη. Ἔνθεν τοι οὐδ᾽ ἔστιν ὅ,τι
τῷ Θεῷ προσενεχθείη ἂν ὑπό τινος ἀνθρώπου
πλουσιώτερον καὶ μεῖζον τῆς θελήσεως δὴ μόνης
τῆς αὐτοῦ τῆς ἐλευθέρας τῆς τὸ ἀγαθὸν φιλούσης·
θέλησις ἡ ἀγαθὴ γὰρ τὸν Θεὸν πρὸς τοὺς ἀνθρώπους
ἔστιν ἀνακαλουμένη, καὶ ἡμᾶς πρὸς τὸν Θεὸν δὲ
ἐπιστρέφουσα ἀπαύστως διευθύνουσα ἀεί τε.
Τῆς θελήσεως οὖν ταύτης τῆς τὸ ἀγαθὸν φιλούσης
Θεὸν μόνον ἀγαπῶμεν, Θεὸν προαιρούμεθά τε,
πρὸς Θεὸν τὸν προσκαλοῦντα ἀνατρέχομεν ἐν πίστει,
εἰς Θεὸν τὸν ἐκλυτροῦντα ἀφικνούμεθα ἐν πόθῳ
καὶ αὐτὸν ἐπιζητοῦντες ἐπικτώμεθα ἐν τέλει.

Ὢ τῆς καλῆς καὶ ἀγαθῆς θελήσεως δι᾽ ἧς ἡμεῖς
εἰς κατ᾽ εἰκόνα τοῦ Θεοῦ πιστῶς διαμορφούμεθα
καὶ ὅμοιοι τῷ ποιητῇ καὶ πλάστῃ καθιστάμεθα!
Οὕτως δ᾽ ἐπέραστόν ἐστιν ἡ θέλησις ἡ ἀγαθὴ
τῷ ποιητῇ ἡμῶν Θεῷ, ὥστε αὐτὸν μὴ βούλεσθαι
ἐν τῇ καρδίᾳ ἐνοικεῖν ἐκείνῃ ᾗ ἂν μὴ παρῇ
ἡ θέλησις ἡ ἀγαθή. Ἡ θέλησις ἡ ἀγαθὴ
Τριάδα τὴν θεαρχικὴν τῆς τοῦ ὑψίστου φωταυγοῦς
μεγαλωσύνης ἐμποιεῖ προσεπιρρέπειν πρὸς αὐτὴν
φιλίως ἐπιστρέφουσα. Ἡ μὲν σοφία γὰρ αὐτὴ

φωτίζει εἰς ἐπίγνωσιν τῆς ἀληθείας τοῦ Θεοῦ,
ἐκκαίει ἡ ἀγάπη δὲ εἰς πόθον τῆς Χρηστότητος
καὶ ὁ Θεὸς καὶ Κύριος ὁ τῶν ἁπάντων τε Πατὴρ
ἐνδιασώζει ἐν αὐτῇ τὸ ἔργον ὃ ἐποίησεν,
ὅπως ἂν μὴ ἀπόληται.

ΚΕΦΑΛΑΙΟΝ ΚϚ΄.

Τί ἐστὶν ἡ τῆς ἀληθείας ἐπίγνωσις.

Τῆς ἀληθείας ἆρα τί δή ἐστιν ἡ ἐπίγνωσις;
πρῶτόν ἐστιν τὸ σεαυτὸν γινώσκειν, καὶ τὸ εἶναί σε
ὃ περ καὶ δέον εἶναί σε· σπούδαζε, εὖ, καὶ ὃ σὲ δεῖ
ἐπανορθοῦν, μετὰ σπουδῆς καὶ ἐπανόρθου ὅπως δεῖ·
γινώσκειν δ᾽ ἔπειτ᾽ ἀγαπᾶν τὸν ποιητὴν καὶ κτίστην
Τοῦτ᾽ ἔστι πᾶν τὸ ἀγαθὸν ἀνθρώπῳ τῷ θεοφιλεῖ [σου.
Ὅρα δὴ ὅσον ἄφατος ἐστ᾽ ἡ ἀγάπη τοῦ Θεοῦ
τῆς εὐσπλαγχνίας πρὸς ἡμᾶς. Ἐκ γὰρ τοῦ μηδενὸς [ἡμᾶς
μὴ ὄντας τε παρήγαγε. καὶ πᾶν ὅ,τι περ ἔχομεν
αὐτὸς ἡμῖν ὡς ἀγαθὸς πλουσίως ἐχαρίσατο.
Ἐπεὶ δὲ πλέον τὸ δοθὲν ἐκ πλάνης ἠγαπήσαμεν
ἢ τὸν φιλάνθρωπον Θεὸν τὸν δεδωκότα τἀγαθά,
τὰ κτίσματ᾽ ἢ τὸν κτίσαντα, εἰς τὴν παγίδα τοῦ ἐχθροῦ
Βελίαρ ἐμπεπτώκαμεν, καὶ δοῦλοι ἐγεγόναμεν
τούτῳ τῷ παγιδεύσαντι· ὁ δὲ Θεὸς ὁ ἀγαθὸς

ὑπὸ ἐλέους κινηθεὶς τὸν προσφιλῆ υἱὸν αὐτοῦ
εἰς κόσμον ἐξαπέστειλε τοὺς δούλους ἐκλυτρώσασθαι
καὶ τὸ Πανάγιον αὐτοῦ δὲ Πνεῦμα ἐξαπέστειλεν
υἱοθετῆσαί τε αὐτούς. Καὶ ἔδωκε τὸν μὲν Υἱὸν
ὡς λύτρον τῆς ἐξαγορᾶς, τὸ Πνεῦμα δὲ τὸ ἅγιον
οἷον δὴ τῆς καταλλαγῆς τὸ γέρας καὶ προνόμιον·
καὶ τελευταῖον ἑαυτὸν ὅλον ὡς κλῆρον Πατρικόν,
κλῆρον υἱοθετήσεως ἐνταμιεύει ἐν ἡμῖν.

Τοσοῦτον ὢν ὁ Κύριος εὔσπλαγχνος ἀπειράγαθος
οὐχ ὅπως τὰ αὐτοῦ ἑκὼν ἀλλὰ καὶ φίλον ἑαυτὸν
ἔδωκε χαρισάμενος, ἵνα τὸν ἄνθρωπον αὐτῷ,
οὐχὶ δὲ μόνον ἑαυτῷ, ἀλλὰ καὶ τῷ ἀνθρώπῳ αὐτῷ
αὐτὸν ἀνταπορρύσηται. Καὶ ἵνα γεννηθῶσι δὲ
οἱ ἄνθρωποι ἐκ τοῦ Θεοῦ, ἐκ τοῦ ἀνθρώπου καταβὰς
ἐτέχθη πρῶτον ὁ Θεός.
Τίς οὕτως ἐστὶν ἀπηνὴς ἢ ἔστι δὴ σιδήρεος,
ὃν οὐκ ἂν ἐκμαλάξειεν αὕτη ἡ ἀγάπη τοῦ Θεοῦ,
ἡ οὕτως ἀγαπῆσαι πως τὸν ἄνθρωπον προφθάσασα;
ἡ οὕτως ὄντως κραταιὰ φημὶ ἀγάπη τοῦ Θεοῦ
δι᾽ ἧς γενέσθ᾽ ἠξίωσε χάριν ἀνθρώπου ἄνθρωπος
ὁ πολυεύσπλαγχνος Θεός;
Καὶ τίς δ᾽ ἂν τοῦ λοιποῦ φρονῶν αὐτόν ποτε μισήσειεν,
οὗ τήν τε φύσιν καὶ μορφὴν ἐπὶ τῆς ἀνθρωπότητος
τοῦ ἀνθρωπήσαντος Θεοῦ ἀπαύστως ἐπιδέρκεται;
πάντως δὴ τὸν Θεὸν μισεῖ, ὅστις ἐκεῖνον ἢ μισῶν
καὶ οὕτως ἐξαπόλλυσιν ὅ,τι καὶ ἂν ἐργάζοιτο.



Τοῦ γὰρ ἀνθρώπου ἕνεκεν ἐγένετ' ἄνθρωπος Θεὸς
ἵνα ὁ κτίστης ῥύστης ᾖ,
ἵν' ἐξαγορασθείη δὲ
ὁ ἄνθρωπος ἐξ ἑαυτοῦ καὶ ἐξαγαπηθείη τε
ἐν πλείονι οἰκειότητι ὑπὸ ἀνθρώπου ὁ Θεός·
Θεὸς ἡμῖν ἐπέφανεν ἐν τοῦ ἀνθρώπου τῇ μορφῇ
καὶ ἵνα ἑκατέρα τε τῶν ἐν ἀνθρώπῳ αἰσθήσεων
τύχοι μακαριότητος, τοῦ ὀφθαλμοῦ τοῦ νοεροῦ
εὐφραινομένου ἐς ἀεὶ ἐν τῇ θεότητι αὐτῇ
τοῦ θεανθρώπου Ἰησοῦ, τοῦ δ' ὀφθαλμοῦ τοῦ σώ-
ἐν τῇ ληφθείσῃ ὑπ' αὐτοῦ τελείᾳ ἀνθρωπότητι. [ματος
Ὅπως ἂν ἔχοι ἐν αὐτῷ νομὴν τὴν ἐπουράνιον
ἡ φύσις ἡ ἀνθρώπινος ἐμπεπλησμένη ὑπ' αὐτοῦ
ἐν τῇ εἰσόδῳ ἑαυτῆς καὶ τῇ ἐξόδῳ ἑαυτῆς.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ'.

Τί δήποτε ἡ τοῦ ἁγίου Πνεύματος ἀποστολὴ ἐν ἡμῖν ἐνεργάζεται.

Καὶ γὰρ ὁ λόγος τοῦ Θεοῦ Σωτὴρ ἐτέχθη δι' ἡμᾶς
ἐσταύρωται ἀπέθανεν ὑπὲρ ἡμῶν ὡς ἄνθρωπος,
ἵν' ἐξολέσῃ τῷ αὐτοῦ θανάτῳ τὸν ἡμέτερον
θάνατον τὸν ψυχόλεθρον. Ἐπεὶ ὁ βότρυς ἄρα δὲ
ὁ τῆς ἁγνῆς σαρκὸς αὐτοῦ, ἐπὶ τὸν τοῦ σταυροῦ ληνὸν
προσήχθη καὶ ἀπήρξατο ἐναποβλύζειν τὸ γλυκὺ

καὶ θεῖον γλεῦκος ἐξ αὐτοῦ συνθλιβομένου ἐν ληνῷ,
ἐπέμφθη τὸ Πανάγιον τὸ βλύζον Πνεῦμα χάριτας
δι' οὗ τὰ σκεύη τῶν πιστῶν καὶ εὐπροσδέκτων καρ-
τελείως παρασκευασθῇ, ὁ δ' οἶνος νέος εἰς ἀσκοὺς [διῶν
ἐπίσης νέους ἐμβληθῇ, πρῶτον μὲν ἵνα μήποτε
ὁ οἶνος ἐγχεόμενος ἐν ταυταισὶ μιαίνοιτο,
κεκαθαρμέναις ἐντελῶς, ἔπειτα δὲ τὸ ἐγχυθὲν
ἐκρέον μὴ ἀπόλοιτο συνδεδεμένων πάντοθεν·
κεκαθαρμένων μὲν αὐτῶν ἐκ τῆς ἡδυπαθήσεως
συνεπιδεδεμένων δὲ κατὰ τῆς ἐπιτέρψεως
περὶ τὰ μάταια αὐτὰ καὶ τἆλλα τὰ παράνομα.
Οὐ γὰρ ἐξῆν τὸ ἀγαθὸν εἰς τὰς καρδίας εἰσελθεῖν
μὴ ἐξελθόντος πρότερον παντὸς ματαίου καὶ κακοῦ.
ἡ μὲν γὰρ ἡδυπάθεια περὶ τὰ ἀνομήματα
καταμολύνει τὴν ψυχήν, ἡ τέρψις ἀπεκχέει δὲ
ἡ στρεφομένη ἐς ἀεὶ περὶ τὴν ματαιότητα·
ἡ μὲν τὸ σκεῦος ῥυπαρὸν ἐκ τοῦ κακοῦ ἐργάζεται,
ἡ δ' ὑπορρέον καὶ σαθρὸν καὶ κλειθριῶδες δείκνυσιν.

Ἀνομίας μὲν ἔστι δὴ τέρψις,
ὅτε ἡ πρὸς Θεὸν ἁμαρτία
τὸ φιλούμενον πέφυκε ταύτης.
Ματαιότητος τέρψις δέ ἐστιν,
ὅτε τὰ παρερχόμενα πάντα
κατατάσσετ' ἐν τοῖς προσφιλέσιν.
Τοιγαροῦν σὺ ἀπόθου τὸ φαῦλον
ἵνα τὸ ἀγαθὸν καταλάβῃς,
τὴν πικρίαν ἐξέμεσον τάχει,



ἵνα σοῦ γλυκανθῇ ἡ καρδία.
Τὸ γὰρ Πνεῦμα τὸ ἅγιόν ἐστιν
καὶ χαρὰ καὶ ἀγάπη γλυκεῖα·
τοῦ Σατὰν οὐ ἀπόρριψον Πνεῦμα,
τοῦ αἰῶνος τοῦ παρερχομένου,
ἵνα λάβῃς τὸ ἅγιον Πνεῦμα·
Τὸ μὲν Πνεῦμα γὰρ τοῦ Διαβόλου
ἀνομίας χαρὰν ἐπιφέρει,
τὸ δὲ πνεῦμα τὸ τούτου τοῦ κόσμου
ματαιότητος τὴν χαρμοσύνην
Αἱ δὲ τέρψεις αἱ ἐξ ἀμφοτέρων
πονηραί εἰσιν ἅμα καὶ φαῦλαι,
ἡ μὲν τέρψις γὰρ τῆς ἁμαρτίας
ἢ τὸ ἔγκλημά ἐστιν γεννῶσα,
ἡ δὲ τῆς ματαιότητος τέρψις
του ἐγκλήματος αἴτιόν ἐστιν.
Τὸ δὲ Πνεῦμα τὸ ἅγιον ἥξει,
τῶν Πνευμάτων τῶν τῆς πονηρίας
τῆς καρδίας ἀπεληλαμένων
καὶ εὐθὺς εἰσελεύσεται τότε
εἰς τὸ σκήνωμα τὸ τῆς καρδίας,
ἀγαθὴν τ' ἀπεργάσεται τέρψιν,
ἀγαθὴν καὶ γλυκεῖαν ἀγάπην,
δι' ἧς ἥ τε τοῦ κόσμου ἀγάπη
ἐξελαύνεται ἐκ τῆς καρδίας
καὶ ἡ τοῦ ἀνομήματος πᾶσα.
Ἡ τοῦ κόσμου τοῦ παρερχομένου
ἡ ἀγάπη ἡ τόσον ματαία

ἐπιθέλγει καὶ ἐξαπατᾷ δέ,
ἡ δὲ τῆς βδελυρᾶς ἁμαρτίας
θανατοῖ τὴν ψυχὴν ἣν μολύνει.
Ἡ ἀγάπη τοῦ θείου φωτίζει
τὴν διάνοιαν καὶ ἐξαγνίζει
τὴν συνείδησιν τὴν τῆς καρδίας,
τὴν ψυχὴν ἡ ἀγάπη εὐφραίνει
καὶ παρόντα ἐναποδεικνῦσα
τὸν Θεὸν αὐτὴ αὕτη ἐμφαίνει.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ΄.

Ὁποῖον τοῦ τὸν Θεὸν ἀγαπῶντος τὸ πολίτευμα.

Ὁ ἀγαπῶν ἀπὸ ψυχῆς τὸν ἐπουράνιον Θεὸν
ἀδιαλείπτως μελετᾷ ἀεὶ διαλογίζεται,
πότ' ἄρα ἥξει πρὸς Θεόν, πότε τὸν κόσμον τὸν φθορ-
ἐγκαταλείψει, πότε δὲ τὴν τῆς σαρκὸς διαφθορὰν [τὸν
εἰς τέλους διαφεύξεται, ὥστε καὶ ἐξευρεῖν αὐτὸν
εἰρήνην τὴν ἀληθινήν.
Διηνεκῶς ἐξαίρει δὲ καὶ πόθον καὶ καρδίαν τε
ἐπὶ τὰ ἄνω πρὸς Θεόν· καὶ καθημένου δὲ αὐτοῦ·
βαδίζοντος, σχολάζοντος, ἢ ἐνασχολουμένου τε
περί τι ἔργον ἡ αὐτοῦ καρδία οὐκ ἀφίσταται
ἀπὸ Κυρίου τοῦ Θεοῦ. Αὐτὸς ὀτρύνει ἅπαντας
εἰς τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ παραγγέλλει ἅπασι
τὴν τοῦ Θεοῦ ἀγάπησιν· καὶ ὅσῳ μὲν ἡ τοῦ Θεοῦ



ἀγάπη ἔστιν ἀγαθή, γλυκεῖα καὶ χαροποιός,
ὅσῳ δὲ ἔστι μοχθηρὰ κατάπικρος καὶ θλιβερὰ
ἡ τοῦ αἰῶνος τουτουΐ, ἐξ ὧν φρονεῖ καὶ ὁμιλεῖ
καὶ πράττει, οὗτος δείκνυσιν.

—

Ὁ τὸν Θεὸν τὸν ἀγαθὸν φιλῶν αὐτὸς καταγελᾷ
τῆς δόξης πάσης τῆς ἐν γῇ καὶ πάσης ματαιότητος
τοῦ κόσμου τούτου τοῦ φθαρτοῦ, ἐκμυκτηρίζει τὴν [σπουδὴν
τὴν περὶ τοῦτον καὶ αὐτὴν τὴν μέριμναν τὴν πρὸς
ὅσης ἀνοίας δέ ἐστιν καὶ ἀφροσύνης ἴδιον [αὐτόν,
τὸ πεποιθέναι καὶ θαρρεῖν ἐπὶ τοῖς διαρρέουσι
παρερχομένοις τε αὐτοῖς πρόδηλον τοῦτο ἴστησι.
Καὶ ἀληθῶς ὁ σωφρονῶν θαυμάζει τῆς πωρώσεως
τῶν κεχηνότων πρὸς αὐτὰ τὰ μάταια καὶ πρόσκαιρα,
θαυμάζει δὲ πῶς ἅπαντες τοῖς οὕτω ἀστάτοις καὶ
τὸ χαίρετε οὐ φράζουσιν. [φθαρτοῖς
Ἡγεῖται ἅπασιν ἡδύ, ἐφ' ᾧ αὐτὸς ἐφήδεται,
καὶ ἐπαρέσκειν ἅπασιν, ὅπερ αὐτὸς ἀσπάζεται,
τοῖς πᾶσι δὲ κατάδηλον, ὅπερ αὐτὸς ἐπίσταται.
Ἐνδελεχῶς γὰρ τὸν Θεὸν αὐτοῦ τε ἀναθεωρεῖ
ὑπὸ τῆς εὐφροσύνης δὲ τῆς θεωρίας ταυτησὶ
ἥδιστα διατίθεται, τοσοῦτον καθιστάμενος
αὐτοῦ εὐδαιμονέστερος, ἐφ' ὅσον ἀναθεωρεῖ
αὐτὸν ἐνδελεχέστερον. Τὸ γὰρ ἀναπεμπάζεσθαι
ὃ καθηδύνει τὴν ψυχὴν φιλούμενον ἡδὺ ἐστιν
ἀεὶ καὶ ἐπαινούμενον.

—


ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Τίς ἡ τῆς καρδίας ἐστὶν ἀληθινὴ ἀνάπαυσις

Ἀληθὴς τῷ ὄντι ἐστὶν ἡ ἀνάπαυσις καρδίας
τῆς προσπεπηγυίας πόθῳ ὁλοκλήρῳ τῇ ἀγάπῃ
τοῦ Θεοῦ τοῦ ἀγαπῶντος, καὶ μηδὲν ἐφιεμένης
ἕτερον πλὴν τῆς ἀγάπης, ἀλλὰ κατατερπομένης
ἐν γλυκύτητι ἁγίᾳ, ᾧ κατέχει, μακαρίᾳ,
κἂν τῷ τέρπεσθαι γλυκέως πάντοτε φαιδρυνομένης.
Ἐὰν γὰρ ὑπὸ ματαίας τῆς προλήψεως ἐντεῦθεν,
ἔκ τε ἄλλης ἀσχολίας
τῆς περί τινα δὴ ἄλλα κατὰ λόγον ἐπιόντα,
ὁπωσοῦν περισπασθείη, μάλ' αὐτίκα ἐπισπεύδει
τάχιστα ἐπανακάμψαι, ἄντικρυς ὑπερορίαν
ἡγουμένη ἄλλοθί που ἢ ἐνταῦθα διατρίβειν.
Ὥσπερ οὐδὲ ἀκαρὲς γὰρ μεσιτεύει πως τοῦ χρόνου
ἐν ᾧ οὐκ ἐπαπολαύει ἄνθρωπος ἢ οὐ πειρᾶται
τῆς χρηστότητος τῆς θείας, οὕτω δέον ἔστι πάντως
οὐδὲ ἀκαρὲς τοῦ χρόνου ἐμφιλοχωρεῖν παράπαν
καθ' ὃ τοῦ Θεοῦ παρόντος αὐτῷ μὴ μιμνήσκοιτό πως.

—

Διό περ οὗτινος κούφης καθίσταται πλημμελείας
ὑπεύθυνος ὁ τῷ θείῳ τῇ προσευχῇ ἐντυγχάνων
τῆς δὲ Θεοῦ παρουσίας ἐπιλαθόμενος ἄφνω
καὶ περισπώμενος ἄλλοις, ὡς δῆθεν μήτε ὁρῶντος
μηδὲ ἀκούοντος ὅλως. Τουτὶ συμβαίνει δὲ ὅταν



τὶς ταῖς ἰδίαις ἀκαίροις διενθυμήσεσι θέλων
ἀκολουθεῖν ὁποιονοῦν τὸ εὐτελέστατον πάντων
τῶν ἐν τοῖς κτίσμασι τούτοις, ὑφ' οὗ ἑλκύεται ὅλος
ὁ νοῦς ἡ διάνοιά τε, ὑπέρτερον τοῦ Θεοῦ πῶς
τὸ κτίσμα τίθησιν οὗτος, πυκνότερον δῆλον ὅτι
ἀναπολῶν ἐν τῇ μνήμῃ τὸ κτίσμα παρὰ τὸν κτίστην
ὅνπερ ὀφείλει ἀπαύστως μιμνήσκεσθαι ὥσπερ κτίστην,
ὡς λυτρωτὴν προσκυνεῖν τε, ἐκδέχεσθαι ὡς σωτῆρα,
ὡς δικαστὴν δὲ φοβεῖσθαι.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἅπαν ὅ,τι ἀπὸ τοῦ Θεοῦ ἀντιμεθελκόμενόν ἐστι τὴν τοῦ νοῦ θεωρίαν φευκτὸν πάντῃ ἐστὶ καὶ ἐπάρατον.

»Ὦ φίλε τοῦ κόσμου ποιοῦ τῶν τοῦ νόμου
»τοῦ θείου μελέτην καὶ πρόνοιαν ἔχε·
»ἣν γὰρ ἐπιβαίνεις ἐπίμοχθον τρίβον
»ἐπὶ τῷ ὀλέθρῳ τῷ σῷ ἐκπεραίνεις.

Ὦ φεῦγε, ἄνθρωπε, τοίνυν βραχὺ τὰς σὰς ἀσχολίας
μικρὸν δὲ κρύβηθι ὅσον ἀπὸ τῶν ταραχωδῶν σου
παντοίων δὲ λογισμῶν σου καὶ ἐνθυμήσεων φαύλων.
Τὰς φορτικάς σου μερίμνας ἀπόρριψον, ἐν δευτέρῳ
τίθου δὲ τὰς ἐπιπόνους καὶ ἀχθηρὰς διατάσεις

καὶ σχόλασον τῷ Θεῷ σου ἐπὶ ποσὸν καὶ μικρόν τι
ἠρέμησον ἐν αὐτῷ σύ. Εἰς τὸ ταμεῖον δὲ σπεῦσον
καὶ εἴσελθε τῆς ψυχῆς σου καὶ ἔξω ἔκκλεισον πάντ
τἄλλα ἐκτὸς τοῦ Θεοῦ σου καὶ πρὸς ἐκζήτησιν ὅσα
αὐτοῦ τοῦ θείου συντείνει· καὶ κλείσας τὴν θύραν σο
αὐτὸν καὶ τότε λεγέτω αὐτῷ ἡ ὅλη καρδία [ζήτ
»Τὸ πρόσωπόν σου τὸ θεῖον ἐζήτησα ποιητά μου
»τὸ πρόσωπόν σου ζητήσω τὸ θεῖον, Κύριε πάντω

Εἶα δὴ σὺ ὁ Θεός μου, σὺ δίδαξον ἱκετεύω
τὴν σὲ ποθοῦσαν καρδίαν ὅπου τε ὅπως ἰσχύσει
καὶ ἐκζητήσει σε, Λόγε· ὅπου τε ὅπως εἰς τέλος
εὑρήσει σε, ὁ Θεός μου, ἣν μή δὴ ὧδε παρείης
ποῖ ποτε ζητήσαιμί σε ἀπόντα, ὦ ποιητά μου;
εἰ δὲ ἁπανταχοῦ πέλεις, ἵνα τὶ οὔ σε εὑρίσκω
παρόντα ἀναζητῶν σε; ἀλλ' ἢ που φῶς καταυγάζ
αὐτὸς οἰκῶν εἶ, Θεέ μου· πῶς οὖν πρὸς φῶς κατα
ἀπρόσιτον τῇ Οὐσίᾳ ἐγὼ πελάσω ὁ σκώληξ [γάζ
ἢ τίς ὁ μὲ ὁδηγήσων, τίς δ' εἰς τὸ φῶς μὲ εἰσάξα
ὡς ὄψομαι ἐν αὐτῷ Σε.
Εἶτα δ' ἐν τίσιν ὁ τάλας ἐγώ ποτε τεκμηρίοις
καὶ ὑπὸ οἵῳ προσώπῳ, Θεέ μου, σὲ ἐκζητήσω;
οὐδέ ποτὲ δὲ τὸ θεῖον ἐπέγνωκα πρόσωπόν σου
Τί δράσει; τίποτε ῥέξει, ὑπέρτατε ποιητά μου,
ὁ οὕτω μεμακρυσμένος ἐξόριστος ἀπὸ σοῦ γε;
ὁ δοῦλός σου τί ποιήσει ὁ ὑπὸ μὲν τῆς ἀγάπης τ
[περὶ Σὲ ὁ Θεός μ



τελῶν ἐν ἀδημονίᾳ, ἀπὸ δὲ τῆς ὄψεώς σου τελῶν
[ἀπεληλαμένος
ὡς πορρωτάτω, Θεέ μου, ἰδοὺ δὴ ἐπιποθεῖ μὲν
ἰδεῖν σε ὁ σὸς ἱκέτης, ἀλλὰ ἀφέστηκε πόρρω
αὐτοῦ, Θεὲ Παντοκράτορ, τὸ ἅγιον πρόσωπόν σου·
ἐφίεται προσελθεῖν σοι, ἀλλ' ἀπροσπέλαστον πέλει
τὸ ἅγιον σκήνωμά σου· εὑρεῖν σε γλίχεται, Λόγε,
ἀλλὰ οὐκ οἶδε σε ἔνθα ἀναζητήσειε, Λόγε·
ἱμείρεταί σου, ὦ Λόγε, ἀλλ' ἀγνοεῖ ποῦ ἂν ἴδοι
τὸ ἅγιον πρόσωπόν σου.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ'.

Ὅτι ὁ ἄνθρωπος διὰ τὴν ἁμαρτίαν ἐστέρηται μὲν τοῦ Θεὸν ἔχειν ὁρᾶν. εὕρατο δὲ τὴν ταλαιπωρίαν καὶ ἀθλιότητα.

Σὺ Κύριε εἶ Θεός μου, Σύ εἶ καὶ ὁ Κύριός μου
καὶ οὔποτε, ὁ Θεός μου, ὁ τάλας ἑώρακά Σε.
Σὺ ὁ Θεὸς ἔπλασάς με καὶ αὖθις ἀνέπλασάς με
καὶ πάντα τὰ ἀγαθά σου πλουσίως μοι ἐδωρήσω
καὶ οὔποτε σὲ τὸν πλάστην Θεόν μου ἐθεασάμην,
οὐδέ ποτε σὲ ἐπέγνων! πεποίημαι τελευταῖον,
ἵνα σὲ βλέπω, καὶ οὔπω ἐποίησα τὸ δι' ὅ περ
πεποίημαι, πλαστουργέ μου.
Ὦ τῆς πολὺ τοῦ ἀνθρώπου ἐλεινῆς κληρουχίας,
οὕτως ἀπολωλεκότος τὸ δι' ὅπερ ἐγεγόνει!

Ὢ τοῦ δεινοῦ τοῦ μεγίστου πτώματος τοῦ παγχαλέπου
φεῦ, τί ἀπώλεσε πεσών, τὶ δ' εὕρατο ἐν τῇ πτώσει
τί ᾤχετο ἀπ' αὐτοῦ δέ, καὶ τί αὐτῷ ὑπελείφθη;
ἀπώλεσε μὲν ἣν εἶχε μακαριότητα τόσην,
δι' ἣν αὐτὸς διεπλάσθη, τὴν ἀθλιότητα δ' εὗρεν,
δι' ἣν αὐτὸς οὐκ ἐπλάσθη. Αὐτῷ ἀπῴχετ' ἐκεῖνο
οὗ ἄνευ οὔ τις εὐδαίμων, καὶ ὑπελείφθη αὐτῷ δὲ
ὃ καθ' αὑτὸ οὔ τι ἔστιν, εἰμὴ ἁπλῆ ἀθλιότης·
ἤσθιε τὸ τηνικαῦτα ἄνθρωπος ἄρτον 'Αγγέλων,
οὗ τινος νῦν γε λιμώττει. Τὰ νῦν δὲ ἄρτον ἐσθίει
δακρύων ταλαιπωρίας, ὃν κατ' ἐκεῖνο οὐκ ἤδει.

Ὦ Κύριε, ἕως πότε ἐπιλανθάνῃ εἰς τέλος;
ἕως δὴ πότ' ἀποστρέψεις τὸ πρόσωπον ἀφ' ἡμῶν σου
πότ' ἐφ' ἡμᾶς ἐπιβλέψεις; πότε ἡμῶν ἐπακούσεις
τοὺς ὀφθαλμοὺς ἡμῶν πότε Σὺ φωτιεῖς, ὁ Θεός μου
τὸ δ' ἅγιον πρόσωπόν σου πότ' εἰς ἡμᾶς ἐπιδείξει
πότε σαυτὸν ἀποδώσεις αὐτὸς ἡμῖν τοῖς ποθοῦσιν;
'Επίβλεψον ὁ Θεός μου, ἐπάκουσον δεομένων
καὶ διαφώτισον πάντας, ἡμῖν τε σεαυτὸν δεῖξον,
σαυτὸν ἡμῖν τε ἀπόδος, ἵνα ἡμῖν γένηται εὖ
τοῖς ἄνευ σοῦ οὕτω δῆτα πονήρως διακειμένοις.
'Ημᾶς ἀνακάλεσον Σύ, ἀντιλαβοῦ ἡμῶν. ῥῦσαι,
Δέσποτα, ἐκλιπαρῶ Σε θερμῶς, Σε καθικετεύω!
ἡ γὰρ καρδία μου λίαν ἐπὶ τῇ κατερημώσει
τῇ τόσῃ κατεπικράνθη· Σὺ ταύτην γλύκανον, Λόγ
τῇ θείᾳ σου παρακλήσει.
Ἐκλιπαρῶ Σε, Θεέ μου, πεινῶν ἠρξάμην αἰτεῖσθ

μὴ νῆστις ἀπολειφθείην! Λιμώττων ἴδε προσῆλθον
μὴ ἄσιτός σου ἀπέλθω! Σοὶ τῷ πλουσίῳ προσῆλθον
ὁ πένης καθικετεύων, τῷ ἐλεήμονι πάσχων,
κενὸς ἐξουθενημένος ὢ μὴ σοῦ ἀποβληθείην.

Κύριέ μου, κατεκάμφθην, οὐδὲ ἔχω εἰμὴ κάτω
νενευκὼς ἀεὶ προσβλέπειν. Σὺ ἀνέγειρόν με, Λόγε,
ὡς δυναίμην σὲ θεᾶσθαι ἀτενίζων πρὸς τὰ ἄνω,
ἀνατείνεσθαι πρὸς Σέ δέ. Ὑπὲρ γὰρ τὴν κεφαλήν μου
ἦράν μου αἱ ἀνομίαι, καὶ ὡσεὶ βαρὺ φορτίον
ἐβαρύνθησάν μοι αὗται, ἅμα δέ με περιέσχον
καὶ ἐκάλυψάν με ὅλον. Σύ με ἐξελίξας τάχει
ἀνακάλυψόν με, Λόγε, ἀποφόρτωσον τὸν φόρτον,
μὴ τὸ φρέαρ ἐκπλατύνῃ κατ' ἐμοῦ
αὐτοῦ τὸ στόμα.
Δίδαξόν με ἐκζητεῖν σε καὶ σαυτὸν ἐπίφανόν μοι
πόθῳ σε θερμῷ ζητοῦντι. Οὐδὲ γὰρ ζητεῖν σε οἶδα,
ἐὰν Σὺ μή με διδάξῃς, οὐδ' εὑρεῖν εἰμὴ σαυτὸν Σὺ
εὐδοκήσας ἀναδείξῃς. Σὲ ποθῶν ἀναζητήσω
καὶ ζητῶν ἐπιποθήσω· ἀγαπῶν, Λόγε, εὑρήσω
καὶ εὑρὼν Σε ἀγαπήσω.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ'.

Περὶ τῆς τοῦ Θεοῦ ἀγαθότητος.

Ὁμολογῶ σοι, Κύριε, καὶ ἐκ ψυχῆς εὐχαριστῶ,
ὅτι κατὰ τὴν θείαν σὴν εἰκόνα με ἐποίησας,

ἵνα σου μνημονεύοιμι, ἀεὶ διανοοίμην Σε,
Σὲ ἀγαπῴην ἐς ἀεί· ἀλλ' οὕτως αὕτη ἡ εἰκὼν
ἡ τυπωθεῖσα ἐν ἐμοὶ τῇ λύμῃ τῶν τοσούτων μο
δεινῶν ἐλαττωμάτων μου ἐξίτηλος ἐγένετο,
καὶ τῇ λιγνύι τῶν πολλῶν φρικτῶν ἁμαρτημάτων
τοσοῦτον ἀπημαύρωσα, ὥστε μὴ ἔχειν τε ποιεῖν
τὸ οὗπερ αὕτη ἕνεκα τῇ Σῇ χειρὶ πεποίηται,
ἐὰν μὴ ταύτην σὺ αὐτὸς Θεὲ ἀνακαινίσειας
καὶ Σὺ ἀναμορφώσειας.
Οὐκ ἐκπειράζων, Κύριε, πειρῶμαι νῦν εἰσδῦναί
τὴν ἄβυσσον τὴν περὶ σέ· οὐχ ὅλως γὰρ ἐπιτολμ
πως τὴν ἐμὴν διάνοιαν αὐτῇ ποτε παραβαλεῖν
αἱρεῖσθαι τὰ ὑπερφυῆ· ἐπιποθῶ ἐκ μέρους πως
νοῆσαι τὴν ἀλήθειαν μόνον τὴν οὖσαν παρὰ σοὶ
ἣν ἀγαπᾷ, ἐπιποθεῖ, πιστεύει ἡ καρδία μου·
Οὐ συνιέναι θέλω γὰρ ἐφ' ᾧ πιστεῦσαι, Κύριε,
ἀλλὰ πιστεύω, Κύριε, ἐφ' ᾧ καὶ συνιέναι με
Οὐκοῦν Σύ, Κύριε, αὐτὸς ὁ σύνεσιν ἡμῖν διδοὺ
εἰς πίστιν ἀκαταίσχυντον δὸς τόσον συνιέναι με,
ὅσον περ συντελεῖν ἐμοὶ Σύ, Κύριε, ἐπίστασαι.
Αὐτὸς εἶ ὡς πιστεύομεν, αὐτὸς ἡμᾶς διδάσκεις
ὅπερ αὐτοὶ πιστεύομεν· πιστεύομεν δὲ εἶναί Σε
ὂν μέγιστον, οὗ μεῖζόν τι οὐδὲν ὑπάρχει ἕτερον,
οὐδέν τε κρεῖττον ἔστι τε ἢ νοηθῆναι δύναται.
Τί τοίνυν εἶ Σὺ ὁ Θεός, οὗ μεῖζον εἴτε κρεῖττόν
οὐ νοηθῆναι δύναται; τί δή ποτε ἀλλ' ἢ αὐτὸ
τἀκρότατον τῶν ἀγαθῶν; τὸ μόνον μὲν ἀφ' ἑαυτ
ὂν ὑφεστώς, τὰ ἄλλα δὲ πάνθ' ὑποστῆσαν ῥήμα

μὴ ὄντα ἐκ τοῦ μηδενός; Ὃ γὰρ οὐκ ἔστι τουτοΐ, ἧττον ἐκείνου πέφυκεν, οὗ μεῖζόν τι οὐδέν ἐστι οὐδὲ νοεῖσθαι δύναται. Ἀλλὰ τουτὶ δὴ περὶ σοῦ ἐννοηθῆναι ἀδύνατον. Τί ἄρα ἀγαθὸν ἐνδεῖ τῷ ἀκροτάτῳ ἀγαθῷ, δι᾽ οὗ περ ἅπαν ἀγαθὸν ὑφέστηκεν; Ἆρα αὐτὸς εἶ δίκαιος ἀληθινὸς μακάριος πᾶν ὅτι οὖν ἔστ᾽ ἄμεινον εἶναι ἢ μή.

—

Ἀλλὰ πῶς ἄρα φείδῃ Σὺ τῶν φαύλων ὁ ὢν δίκαιος ὅλως εἰς τὸ ἀκρότατον, ἢ ὅτι ἡ ἀγαθότης σου ἐστὶν ἀκατανόητος; λανθάνει τοῦτ᾽ ἐν τῷ φωτὶ τῷ ἀπροσίτῳ ὃ οἰκεῖς· ἐν τῷ ὑπερκρυφαίῳ γὰρ καὶ ἀβυσσώδει γε βυθῷ ἀγαθωσύνης δήπου σῆς λανθάνουσ᾽ ἔστιν ἡ πηγὴ ἐξ ἧς ἐκρεῖ ὁ ποταμὸς τῆς ἄκρας εὐσπλαγχνίας σου.
καὶ γὰρ εἰς τὸ ἀκρότατον δικαιος ὅλως πεφυκώς, ἀλλ᾽ ὅμως εἶ ἐπιεικὴς ὁμοίως καὶ τοῖς πονηροῖς· ὅτι καὶ ὅλως ἀγαθὸς εἶ καὶ εἰς ἄκρον ἀγαθός· καὶ γὰρ ἂν ἧττον ἀγαθὸς εἴης, εἰμὴ τοῖς φαύλοις τε ὑπῆρχες οὕτως ἀγαθός. Κρείσσων γὰρ εἶναι πέφυκε ὁ πέλων ἅμα ἀγαθός τοῖς ἀγαθοῖς καὶ φαύλοις τε ἐκείνου τοῦ τοῖς ἀγαθοῖς μόνον τελοῦντος ἀγαθοῦ· καὶ κρείσσων δὲ ὁ ἀγαθὸς τῷ συγγιγνώσκειν τοῖς κακοῖς καὶ ἐπιτάσσειν τε ποινὴν ἤπερ ὁ ὢν μὲν ἀγαθὸς [κοῖς κολάζων μόνον δὲ αὐτούς.
Διὰ γὰρ τοῦτο, Κύριε, οἰκτίρμων εἶ, ἐπείπερ εἶ ὅλως ἐς ἄκρον ἀγαθός.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ΄.

Περὶ τῆς παντέρπνου ἀπολαύσεως τοῦ Θεοῦ.

Ὦ ἀγαθότης ἄπειρος, καὶ ταύτῃ πᾶσαν ἔννοιαν ἀρρήτως ὑπεραίρουσα, ἐλθέτω δὴ καὶ ἐπ᾽ ἐμέ, Θεέ, ἡ εὐσπλαγνία σου ἡ ἐκ τοσούτου πλούτου σου χρηστότητος πηγάζουσα· ἐπιρρευσάτω ἐπ᾽ ἐμὲ προρρέουσα δὴ ἀπὸ σοῦ· ὥσπερ οἰκτίρμων φεῖσαί μου, ὡς δίκαιος μὴ δίκασον. Νῦν ἡ ψυχή μου ἔγειραι καὶ ὅλην τὴν διάνοιαν πρὸς τὸν Θεὸν ἀνύψωσον, νόησον ὡς ἂν δύναιο, ἡλῖκον ἄρα οἷόν τε ἔστι τὸ ἄκρον ἀγαθόν, ὅ ἐστὶν ὁ Θεὸς αὐτός.

—

Εἰ γὰρ ἑκάστοις τἀγαθὰ τερπνὰ ἡδέα τέ ἐστι, σκόπει δὴ ἤδη ἀτενῶς, ὅσον ἡδύ τε καὶ τερπνὸν ἔστιν ἐκεῖνο τἀγαθὸν τὸ ἔχον τὴν ἡδύτητα συμπάντων δὴ τῶν ἀγαθῶν οὐχ οἵων δὲ εἰλήφαμεν διὰ τῆς πείρας ἐπὶ τῶν κτισμάτων τῶν ἐπὶ τῆς γῆς, ἀλλ᾽ οὕτω διαφέρουσα, ὅσῳ διάφορός ἐστιν τοῦ κτίσματος δημιουργός. Εἰ γάρ τοι ἀγαθόν ἐστι ἡ δωρηθεῖσ᾽ ἡμῖν ζωή, ὁπόσον μέγα ἀγαθὸν ἔσθ᾽ ἡ δημιουργὸς ζωὴ καὶ κτίσις τῆς ζωῆς ἡμῶν; Εἴπερ ἡδεῖα ἡ ζωὴ ἡ ποιηθεῖσα πέφυκε, πόσον ἡδεῖα ἆρά γε ἡ σωτηρία τῆς ζωῆς, ἡ σωτηρίαν ἅπασαν ἡμῖν παρασκευάσασα; Εἰ χρῆμά τι ἐράσμιον ἔστ᾽ ἡ σοφία τοῦ νοὸς



ἡ γινομένη ἐν σπουδῇ μελέτη τῶν πραγμάτων τε
τῶν δυναμένων ὑπ᾿ αὐτοῦ ὡς οἷόν τε γινώσκεσθαι,
ὁπόσον ἆρ᾿ ἐπέραστον ἔστ᾿ ἡ σοφία τοῦ Θεοῦ
ἡ πάντα ἐκ τοῦ μηδενὸς παραγαγοῦσα θαυμαστῶς
καὶ πάντα ὑποστήσασα; καὶ τελευταῖον εἰ πολλαὶ
αἱ τέρψεις καὶ μεγάλαι τε πραγμάτων τῶν τερπνο-
ἡλίκη, ὁποία ἔσεται ἡ τέρψις ἐν τῷ τὰ τερπνὰ [ποιῶν,
αὐτὰ δημιουργήσαντι. Βαβαί! τῷ ἀπολαύσοντι
τοῦ ἄκρου τούτου ἀγαθοῦ! Τίποτ᾿ ἆρ᾿ ἔσεται αὐτῷ;
τί δὲ αὐτῷ οὐκ ἔσεται; πάντως οὐκ ἔσεται αὐτῷ
ὅ,τι μὴ βούλοιτο αὐτός. Ἐκεῖ γὰρ πάντα τἀγαθὰ
ἔγκειται εἰς ἀπόλαυσιν, τῆς τε ψυχῆς καὶ σώματος
ἅπερ οὐκ εἶδεν ὀφθαλμός, καὶ οὖς ἤκουσέ ποτε
καρδία τοῦ ἀνθρώπου δὲ πώποτε οὐκ ἐπόθησεν.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ΄.

Τοῦ ἄκρου τῶν ἀγαθῶν ἐπορεκτέον

Τί τοίνυν, ἀνθρωπάριον, διὰ πολλῶν ἀλάλησαι
ζητῶν παντοῖα ἀγαθὰ καὶ τῇ ψυχῇ καὶ σώματι;
ἓν ἀγαθὸν ἀγάπα τὸ ἐν ᾧ τὰ πάντα ἀγαθά,
καὶ τοῦτο ἐξαρκέσει σοι· πόθει τὸ μόνον ἀγαθόν,
ὅ ἐστι πᾶν τὸ ἀγαθόν, καὶ ἔσται σοι ὑπεραρκές.
Τί ἀγαπᾷς ἡ σάρξ μου γάρ; τί ἡ ψυχή ἐπιποθεῖς;

αὐτόθι ἔστι πᾶν ὅ,τι τυγχάνεις ἀγαπῶσα σύ·
αὐτόθι ἔστι πᾶν οὗπερ ἐφίεσαι πρὸς χορτασμόν.
Εἴπερ τὸ κάλλος τουτοΐ, ἄνθρωπε, ἐπιτέρπει σε,
οἱ δίκαιοι ὡς ἥλιος τοῖς κάλλεσι ἐκλάμψουσιν·
εἰ δὲ τὸ τάχος τέρπει σε, εἴ σε τὸ σθένος, εἰ ἰσχὺς
ἢ χάρις ἡ τοῦ σώματος ᾧ ἀντιβαῖνόν τι μηδὲν
εἴη καὶ προσιστάμενον ἔσονται, ὡς οἱ Ἄγγελοι.
Σπείρεται σῶμα ψυχικόν, ἐγείρεται πνευματικόν·
δυνάμει πάντως τοῦ Θεοῦ, οὐχὶ τῇ φύσει τῆς σαρκός.
Εἰ ἐπιτέρπει ἡ ζωὴ ἡ μακροημερεύουσα ἐν εὐεξίᾳ
ἐκεῖ ἡ ὑγιαίνουσα αἰωνιότης εὕρηται [σταθερᾷ
καὶ ἡ διαιωνίζουσα ὑγεία εὕρηται ἐκεῖ·
ὅτι γε ζῶσι δίκαιοι εἰς τὸν αἰῶνα ἅπαντα,
ἡ σωτηρία δὲ αὐτῶν παρὰ Κυρίου τοῦ Θεοῦ.
Εἰ ὁ εἰς κόρον χορτασμός, δίκαιοι χορτασθήσονται
ἐν τῷ ὀφθῆναι πρὸς αὐτοὺς τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν.
Εἴπερ ἡ διὰ κώμου σε φαιδρότης εὐφροσύνη τε
τέρπει, ἀπὸ ποιότητος τοῦ οἴνου μεθυσθήσονται
τοῦ Οὐρανίου τοῦ Θεοῦ. Εἴπερ ἡ μελῳδία σε
τέρπει, οἱ Ἄγγελοι ἐκεῖ οἱ τῷ Θεῷ προσᾴδοντες
τὸν αἶνον τὸν Τρισάγιον ἀδιαλείπτως τέρπουσιν.
Εἰ, ἡ ὁποιαδηποτοῦν ἄλλη μηδόλως ἐναγής,
ἀλλὰ δὴ πάντη εὐαγὴς καὶ ἁγνοτάτη τε τρυφὴ
καὶ τέρψις ἐπιτέρπει σε, ἐκεῖ ὁ Κύριος αὐτοὺς
ἐκ τοῦ χειμάρου τῆς τρυφῆς τῆς ἑαυτοῦ ἐμποτιεῖ.
Εἰ ἡ σοφία τέρπει σε, αὐτὴ ἡ σοφία τοῦ Θεοῦ
αὐτοῖς αὐτὴν ἐμφανιεῖ. Εἰ ἡ φιλία, τὸν Θεὸν
αὐτὸν ἐκεῖ φιλήσουσιν ἐκεῖνοι μᾶλλον ἢ αὐτούς,

ἀλλήλους δ' ὥσπερ ἑαυτούς, καὶ μὲν δὴ καὶ αὐτοὺς [Θεὸς
φιλήσει πλέον ἢ αὐτοὶ αὐτούς ποτε φιλήσουσιν·
ὅτι κἀκεῖνοί γε αὐτὸν ἀλλήλους τε φιλήσουσι
διὰ τὸν Κύριον αὐτόν, αὐτός τε ἑαυτὸν φιλεῖ
κἀκείνους δὲ δι' ἑαυτόν.
Εἰ δέ γε ἡ ὁμόνοια καὶ ἡ ὁμοφροσύνη σοι
παρέχει τέρψιν, ἅπασι μία ἐκείνοις ἔσεται
ἡ θέλησις καὶ ἡ αὐτή· οὐ γάρ τις ἄλλη ἔσεται
αὐτοῖς, εἰμὴ ἡ τοῦ Θεοῦ ἡ ὑπερτάτη θέλησις.

—

Εἰ δὲ τὸ σθένος, πανσθενεῖς ἔσονται ἐν τῷ δύνασθαι
ἐν τῇ βουλήσει τῇ αὐτῶν, καθάπερ ὁ Θεὸς αὐτὸς
ἐν τῇ ἰδίᾳ ἑαυτοῦ· καθὰ γὰρ ὁ Θεὸς αὐτὸς
δυνήσεται καθ' ἑαυτὸν ὅπερ βουλήσεται αὐτός,
οὕτως ἐκεῖνοι δυνατοὶ ἔσονται διὰ τὸν Θεὸν
καθ' ὅπερ βουληθεῖεν ἄν. Ἐπεὶ ὥσπερ οἱ δίκαιοι
οὐχ ἕτερον βουλήσονται παρ' ὃ ἐκεῖνος βούλεται,
οὕτως βουλήσετ' ὁ Θεὸς ὃ βουληθεῖεν ἂν αὐτοί·
ὅπερ δὲ βουληθεῖεν ἂν οἱ δίκαιοι, οὐδέποτε
μὴ εἶναί πως δυνήσεται.
Ἐὰν δ' ὁ πλοῦτος ἡ τιμὴ τέρψιν τινὰ δὴ ἐμποιῇ
ἐγκαταστήσει ὁ Θεὸς τοὺς ἑαυτοῦ θεράποντας
τοὺς ἀγαθοὺς καὶ τοὺς πιστοὺς ἐπὶ μεγίστων ἀγαθῶν·
ἀλλά γε καὶ κληθήσονται υἱοὶ Θεοῦ δὴ καὶ Θεοί·
καὶ κληρονόμοι ἔσονται Θεοῦ τοῦ μόνου ἀγαθοῦ,
συγκληρονόμοι δὲ Χριστοῦ.
Ἐὰν δὲ ἡ ἀσφάλεια βεβαία τε καὶ ἔμπεδος,

ἕξουσιν οὕτως ἀστεμφῶς καὶ ἀτρεκῶς τοῦ μηδαμῇ
μηδέποτε ἀπέσεσθαι αὐτῶν ἐκεῖνο τἀγαθόν,
ὥσπερ βεβαίως ἔχουσιν, ὅτι οὐδέποτε αὐτοὶ
ἑκόντες ἀπολέσουσιν αὐτό· καὶ ὅτι ὁ Θεὸς
ὁ ἀγαπήσας δὴ αὐτοὺς οὐδέ ποτε τὸ ἀγαθὸν
ἀντανελεῖται ἀπὸ τῶν φιλούντων τὸν Θεὸν αὐτῶν·
οὐδ' ἕτερόν τι τοῦ Θεοῦ ὑπάρχει ἰσχυρότερον,
ὅπερ ἐκείνους καὶ Θεόν ποτε διαχωρήσειε.
Ὁποία δ' ἄρα ὅση τε ἡ τέρψις ἔσται καὶ χαρὰ
οἷς τὸ τοιοῦτον ἀγαθὸν καὶ τηλικοῦτον ἔνεστιν.

———

ΚΕΦΑΛΑΙΟΝ ΛΕ'.

Περὶ τῆς ἀμοιβαίας ἀγαπήσεως τῶν ἐν Οὐρανοῖς ἁγίων.

Ὦ καρδία ἀνθρωπίνη ἐνδεὴς ἠπορημένη,
συμφορῶν τε θλίψεών τε γευσαμένη οὐκ ὀλίγων,
ὑποβρύχιος δὲ μᾶλλον ὑπὸ τῶν ἀθλιοτήτων
ὦ καρδία γενομένη, ὅσον ἂν ἐπευφρανθείης
ἐν τῇ δαψιλεῖ ἐκείνῃ καὶ πολλῇ περιουσίᾳ
καταστᾶσα ὦ καρδία πάντων τῶν προειρημένων!
Ἐπερώτησον, καρδία, τὰ ἐν σοῖς μυχίοις ὄντα,
εἴπερ ἔχοιεν χωρῆσαι τὴν χαράν τε καὶ τὴν τέρψιν
τὴν αὐτῶν τὴν ἐν τοσαύτῃ μακαρίᾳ καταστάσει;
καὶ γάρ που, εἰ ἕτερός τις ὅνπερ ἴσα ἀγαπῴης

σεαυτῷ συγκοινωνοίη τῆς αὐτῆς εὐδαιμονίας,
ἐπιδιπλασιασθείη ἂν ἡ σὴ μακαριότης
τέρψις τε καὶ θυμηδία· οὐ γὰρ ἧττον ἐπ᾽ ἐκείνῳ
ἢ ἐπὶ σοὶ ἡ καρδία ἐφησθείη. Ἐὰν πάλιν
δύο εἴτε τρεῖς ἢ πλείους τοῦ αὐτοῦ τύχοιεν πλούτου,
οὐ τοσοῦτον ἐφ᾽ ἑκάστῳ τῶν ἐνθάδ᾽ ἠγαπημένων,
ὅσον ὑπὲρ σεαυτοῦ σὺ εὐφρανθείης ἀπολαύων,
ἕκαστον φιλῶν τοσοῦτον ὡς σαυτὸν φιλήσειας ἄν.
Τί οὖν ἄρα ἔσται τότε ἐπὶ τῆς τελειοτάτης
ἀγαπήσεως ἐκείνης τῶν χορῶν τῶν Οὐρανίων
τῶν ἀναριθμήτων ὄντων τῶν ἀγγέλων καὶ ἀνθρώπων,
ἔνθα οὐ τὸν ἕτερόν τις ἔλαττόν πως ἀγαπήσει
ἤπερ ἑαυτόν φιλήσει; οὐδὲ ἄλλως γὰρ ἐκεῖ τις
ἕκαστος ἀμφὶ ἑκάστῳ γε τῶν ἄλλων εὐφρανεῖται
ἢ ἐπιχαρήσεταί γε περὶ ἑαυτοῦ ἰδίᾳ.
Εἰ μόλις οὖν δυνήσεται χωρῆσαι τὴν αὐτῆς χαρὰν
ἐπὶ τοσούτῳ ἀγαθῷ ἡ τοῦ ἀνθρώπου ἀσθενὴς
καρδία, πῶς χωρήσειε τοσαύτας τῶν τοσούτων τε
ἀγαλλιάσεις καὶ χαράς; τῷ ὄντι, ἐπεὶ ἕκαστος
ὅσῳ τυγχάνει ἕτερον φίλον αὐτοῦ μᾶλλον φιλῶν,
τοσούτῳ ἐπιχαίρει τε ἐπὶ τῷ 'κείνου ἀγαθῷ.
Ὡς πλεῖον ἀγαπήσει τις ἕκαστος τὸν Θεὸν ἐν τῇ
λήξει τῇ τρισευδαίμονι καὶ μακαρίᾳ ἢ αὐτόν,
σύν τε αὐτῷ καὶ τοὺς λοιποὺς συλλήβδην ἀπαξάπαντας,
κατὰ τὸν τρόπον τὸν αὐτὸν ἀπαραβλήτως μᾶλλον δὲ
ἀγαλλιάσετ᾽ ἐπὶ τῇ Θεοῦ μακαριότητι
ἤπερ ἐπὶ τῇ ἑαυτοῦ καὶ τῇ τῶν ἄλλων προσφιλῶν
συμπάντων τῶν μεθ᾽ ἑαυτοῦ. Εἰδ᾽ οὕτω δὴ τελέσουσι

τὸ θεῖον ἀγαπήσοντες ἐν ὅλῃ τῇ ψυχῇ αὐτῶν
ἐν ὅλῃ τῇ καρδίᾳ τε καὶ τῇ ἰσχύι ὅλῃ τε
καὶ ὅλῃ διανοίᾳ τε, ὡς μέν τοί γε μὴ ἱκανῶς
ἔχειν μηδ᾽ ὅλην τὴν ψυχήν, μηδ᾽ ὅλην τὴν καρδίαν τε
μηδ᾽ ὅλην τὴν ἰσχὺν αὐτὴν μηδ᾽ ὅλην τὴν διάνοιαν
πρὸς τὸ ὑπέροχον αὐτῆς τῆς θείας ἀγαπήσεως,
πάντως δή που καὶ οὕτω περ χαίροντες ἔσονται αὐτοὶ
ἐξ ὅλης τῆς ψυχῆς αὐτῶν, ἐξ ὅλης τῆς καρδίας τε
καὶ τῆς ἰσχύος ὅλης τε καὶ ὅλης διανοίας τε,
ὥστε γε μὴν μὴ ἐπαρκῶς ἔχειν μηδ᾽ ὅλην τὴν ψυχὴν
μηδ᾽ ὅλην τὴν καρδίαν τε μηδ᾽ ὅλην τὴν ἰσχὺν αὐτῶν
μηδ᾽ ὅλην τὴν διάνοιαν, ἐν τῷ πληρώματι αὐτῷ
τῷ τῆς ἀγαλλιάσεως.

ΚΕΦΑΛΑΙΟΝ ΛϚ΄.

Περὶ τῆς ἐν τῇ ζωῇ τῇ αἰωνίῳ πληρεστάτης ἀγαλλιάσεως.

Ὁ Κύριός μου καὶ ὁ Θεός μου
ἐλπίς μου πέλεις χαρά τε μόνης
ἐμῆς καρδίας καὶ διανοίας.
Σὺ τῇ ψυχῇ μου εἰπὲ εἰ αὕτη
ἔστ᾽ ἡ χαρά, περὶ ἧς σὺ ἔφης
ἡμῖν διὰ τοῦ ἀγαπητοῦ σου
υἱοῦ καὶ Λόγου τοῦ θεανθρώπου·
Ἀεὶ αἰτεῖτε οἱ ἀγαπῶντες,



καὶ λήψεσθέ γε οἱ ἐκζητοῦντες,
ἵνα ᾖ πλήρης ἡ εὐφροσύνη
ἐν τῇ καρδίᾳ τῇ ἐκζητούσῃ,
τῆς γὰρ καρδίας πεπληρωμένης,
καὶ πλήρους οὔσης τῆς διανοίας
καὶ τῆς ψυχῆς τε πεπληρωμένης
ὁλοσχεροῦς τε πεπληρωμένου
προσέτι ὄντος γε τοῦ ἀνθρώπου,
ὑπερεπέκεινα δὴ ἐκείνης
τῆς εὐφροσύνης καὶ χαρμοσύνης
ναὶ ὑπερέσται ἡ χαρμοσύνη
ἡ ἐκ τῆς θείας περιουσίας.
Οὔκουν δὴ ἄρα ὅλη ἐκείνη
ἡ χαρμοσύνη εἰς τὰς καρδίας
τῶν σεσωσμένων εἰσδῦναι ὅλως
ἂν δυνηθείη· ἀμέλει δέ τοι
οἱ χαρμοσύνης πεπληρωμένοι
εἰσὶν ἐκεῖνοι οἱ εἰς τοὺς γάμους
τοῦ Βασιλέως ἐλεύσοντ' ἔνδον.
Εἰπὲ δή, Κύριε, ὁ Θεός μου,
εἰπὲ τῷ δούλῳ τῷ σῷ ἱκέτῃ,
ἐν τῇ καρδίᾳ εἰπέ μοι ἔνδον
εἰ αὕτη ἐστίν γε ἡ χαρά σου
εἰς ἣν οἱ δοῦλοί σου οἱ ἱκέται
συνεισελεύσονταί σοι, Θεέ μου,
οἱ εἰσελευσόμενοι ἐν δόξῃ
εἰς τὴν χαρὰν τοῦ αὐτῶν Κυρίου.
ἀλλὰ γὰρ ἤ που, οἱ ἐκλεκτοί σου

ἥν περ χαράν σου χαρήσονται, ταύτην
«οὔτ' ὀφθαλμός τις ὁρῶν κατεῖδεν
οὔτ' οὖς ἀνθρώπου ἤκουσεν ὅλως,
οὔτε ἀνέβη ἐπιποθία
ἐπὶ καρδίαν ποτὲ ἀνθρώπου».
Τοιγαροῦν οὔπω Θεὲ συνῆκα,
οὐδ' εἴρηκα δὲ ὅσον οἱ οὕςπερ
Σὺ ἐξελέξω ἐπευφρανοῦνται
χαρήσονταί τε.
Χαρήσονται γὰρ τοσοῦτον πάντες
ὅσον ἂν ἀγαπήσωσιν οὗτοι·
καὶ ἀγαπήσουσι δὲ τοσοῦτον,
ὅσον περ ἂν ἐπιγνώσωνταί Σε·
πόσον δὲ ἐπιγνώσονται ἄρα ;
καὶ ἀγαπήσουσί γε δὲ πόσον ;
τοῦτ' ἀληθῶς οὔτ' ὀφθαλμὸς εἶδεν,
οὔτε ποτὲ οὖς ἤκουσεν ὅλως,
οὔτε ἀνέβη ἐπὶ καρδίαν
ποτὲ ἀνθρώπου τῷδε τῷ βίῳ, ὅσον περ ἐν ἐκείνῳ τῷ [βίῳ
τῷ μετὰ τοῦτον γνώσονται τότε καὶ ἀγαπήσουσι οἱ [φιλοῦντες.

—

Δέομαί σου, ὁ Θεός μου, γένοιτό μοι σὲ γινώσκειν
τὸ ἐν τῷ παρόντι βίῳ, σὲ δὲ ἀγαπᾶν καὶ μόνον
καὶ ἐν σοὶ Θεέ μου χαίρειν· κἂν μὴ δύνωμαι ἐν τούτῳ
ἀγαπᾶν πεπληρωμένως, ἀλλὰ ἵνα ἀφ' ἡμέρας
εἰς ἡμέραν ἐπιδοίην, ἕως ἂν κἀκεῖνο πλῆρες

τέλος περιγένοιτό μοι. Ὁ Θεὸς ἐπιδιδοίη
μοι ἐνταῦθα, δέομαί σου, ἡ ἐπίγνωσίς σου ἵνα
γένηται ἐκεῖ μοι πλήρης.
Αὔξοι ἐν ἐμοὶ δὲ ὧδε ἡ ἀγάπη ἡ σὴ αὕτη,
ἵνα ἡ ἐκεῖ ᾖ πλήρης· ὥστε δὴ καὶ τὴν χαράν μου
ὧδε μὲν εἶναι μεγάλην τῇ ἐλπίδι τῇ βεβαίᾳ,
πλήρη δὲ ἐν σοὶ ἐκεῖσε ἔσεσθαι τῇ ἀπολαύσει.
Ὁ Θεὸς ὁ Κύριός μου ὁ ἀληθινός! αἰτοῦμαι
τοῦτό με λαβεῖν, Σὺ ὅπερ ἐπηγγείλω ἀποδώσειν,
ἵνα ᾖ πεπληρωμένη ἡ ἐμὴ χαρὰ Θεέ μου.
Μελετάτω ἐν αὐτῇ τὸ ἀπ' ἐντεῦθεν ἡ ψυχή μου
καὶ περὶ αὐτῆς λαλείτω μου ἡ γλῶσσα τὸ ἐντεῦθεν,
ἡ καρδία μου αὐτήν δὲ ἀγαπάτω καὶ τὸ στόμα
δι' αὐτὴν διαλεγέσθω· ἡ ψυχὴ αὐτὴν πεινάτω,
ἡ δὲ σὰρξ αὐτὴν διψάτω καὶ αὐτὴν ἐπιποθείτω
ἡ οὐσίωσίς μου πᾶσα, ἄχρις οὗ κἀγὼ εἰσέλθω
εἰς τοὺς γάμους τοῦ Κυρίου τὴν χαρὰν τὴν αἰωνίαν,
οὗ διαμενῶ εὐδαίμων εἰς αἰῶνας τῶν αἰώνων.

Τέλος τοῦ Ἐγχειριδίου τοῦ περὶ τῆς Χριστοῦ θεωρίας.

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ

ΤΟΥ ΑΥΤΟΥ ΙΕΡΟΥ ΑΥΓΟΥΣΤΙΝΟΥ

ΤΟ ΠΕΡΙ ΣΥΝΤΡΙΒΗΣ ΚΑΡΔΙΑΣ

ΚΕΦΑΛΑΙΟΝ Α'.

Ὅτι ἡ κατάνυξις γεννᾶται ἐκ τῆς τῶν περὶ ἡμᾶς αὐτοὺς περισκέψεως.

Οὐδὲν βεβαιότερόν μοι τοῦ θανάτου,
οὐδὲν δ' ἀδηλότερον τούτου τῆς ὥρας.
Νοήσωμεν τοίνυν ἡμεῖς οἱ ἐν βίῳ,
ὡς βραχυτελὴς ὁ ἡμῶν ἐστι βίος,
ὡς ὀλισθηρὸς δὲ τοῦ βίου ὁ στίβος
ὥς γε ἀναπόδραστόν ἐστι τὸ τέρμα
τοῦ βίου τοῖς πᾶσι καὶ βέβαιον πάνυ,
ὡς ἔστιν ἀβέβαιον τὸ πότε ἥξει
καὶ ἄδηλον μάλα.
Νοήσωμεν ὅσων ἐστὶ πικροτήτων
ἀνάμεστον τοῦτο.
Πᾶν εἰ γλυκερόν τι ἤ τι τὸ θυμῆρες



ἐν τῇδε τῇ τρίβῳ τοῦ βίου συμπέσει,
ἡμῖν γε προσπαίζει, ἀπατηλὸν ὅσον
καὶ ὕποπτόν ἐστιν·
ὡς παροδικὸν τε καὶ ἄστατον ἐστιν,
πᾶν ὅ,τι ὁ ἔρως τοῦ βίου ὠδίνει,
ὅ,τι διαπλάττει νοὸς φαντασία
καὶ πρόσκαιρον κάλλος ἡμῖν ὑπισχνεῖται·
σκεψώμεθα τοίνυν αὐτοὶ ἐπὶ τούτοις
καὶ ὅση τις ἔσται τρυφὴ καὶ γλυκύτης
ἐπὶ τῆς πατρίδος τῆς ἐπουρανίου
καὶ ὡς ἡμῖν ἔνι περιεσκεμμένως
σταθμήσαντες, θῶμεν δὴ ἐν παραθέσει,
πεπτώκαμεν ὅθεν, καὶ κείμεθα ἔνθα·
ὠλέσαμεν τί δέ, καὶ εὕραμεν τί δὲ
ὡς ἐξ ἀμφοτέρων συνήσωμεν ὅσον
ἡμᾶς ἐστι δέον ἀλύειν θρηνεῖν τε
ἐπὶ τῆς τοιαύτης ἡμῶν ἐξορίας.
Τῇ γνώμῃ δὲ ταύτῃ καὶ Σολομὼν ἔφη·
«ὁ προστιθεὶς γνῶσιν προσθήσει τε ἄλγος».
καὶ γὰρ ὅσῳ μᾶλλον ἐν περινοήσει
κακῶν τῶν ἰδίων ὁ ἄνθρωπος βαίνει,
τοσούτῳ δὴ πλέον ὀδύρεσθαι τείνει
καὶ ἐπιστενάζειν.
Ἡ μὲν γὰρ μελέτη ἐπίγνωσιν φέρει,
ἡ δέ γε ἐπίγνωσις κατάνυξιν τίκτει,
καὶ αὕτη γεννᾷ δὲ τὴν συντριβὴν αὖθις,
ἡ δὲ συντριβὴ αὖ τὴν προσευχὴν φέρει,
τῇ ἐνδελεχεῖ οὖν μελέτῃ πρὸς γνῶσιν

αὐτοῦ τοῦ ἰδίου αὐγάζεται λίαν
ὁ ἄνθρωπος ὅλος· τῇ δὲ διασκέψει
κακῶν τῶν ἰδίων ἡ τούτου καρδία
ὑπὸ τῶν παντοίων δεινῶν τῶν χρονίων
τῶν ἐνδομυχούντων προστρίβεται σφόδρα.

Οἴμοι! οἴμοι ἐμοὶ τῷ ἀθλίῳ,
ὅπως ὤφειλον τὸν ποιητήν μου
ἀγαπᾶν ἀπὸ μέσης καρδίας!
τὸν ποιήσαντά με μηδὲν ὄντα,
τὸν ρυσάμενον ἀπολωλότα!
τὴν ἀρχὴν μὲν ἐγὼ μηδὲν ἤμην
ὁ Θεὸς δ' ὁ ἐμὲ πλαστουργήσας
μὲ παρήγαγεν ἐκ τοῦ μὴ ὄντος.
Μὲ παρήγαγεν οὐ φυτὸν εἶναι,
οὐ πτηνὸν οὐδέ τι τῶν ἀλόγων,
ἀλλὰ ἄνθρωπον μὲ πεφυκέναι
ἐβουλήθη καὶ ζῆν μοι παρέσχε
καὶ αἰσθάνεσθαι λόγου μετέχειν·
καὶ ἐγὼ μὲν αὐτὸς ἀπωλώλειν
καὶ θνητὸς ἐγεγόνειν ὁ τάλας,
ἐπ' ἐμὲ δὲ κατῆλθεν ἐξ ὕψους
τὸν θνητὸν ὁ ἀθάνατος λόγος,
καὶ παθεῖν καὶ θανεῖν ἠβουλήθη,
καὶ θανάτῳ θανάτου κρατήσας
εἰς τὸ πρότερον εἶναί με αὖθις
ἀνεκάλεσεν ὁ ποιητής μου·
οὑτωσὶ ἡ αὐτοῦ θεία χάρις
καὶ χρηστότης προφθάσασα τάχει



ἀντελάβετ' ἐμοῦ τεθνηκότος.
Ἀλλὰ μὴν ἐκ πολλῶν τε κινδύνων
ἀπερρύσατό με ὁ Σωτήρ μου,
ἐπανήγαγε δὲ πλανηθέντα,
ἐξεπαίδευσεν ἀσυνετοῦντα,
ἁμαρτάνοντα ὑπέμνησέ με,
παρεκάλεσε δὲ ἀθυμοῦντα,
ἐπεστήριξεν ἀπογνωσθέντα,
ἐκπεσόντα ἀνήγειρεν αὖθις,
ἑστηκότα με ἐπικατέσχε,
καθωδήγησεν ἐρχόμενόν με
καὶ προσήκατο ἐπανελθόντα.
Ταῦτα δ' ἔτι καὶ πλείονα ἄλλα
ἀπειργάσατό μοι ὁ Θεός μου,
περὶ ὧν μοι ἡδὺ ἔσται λέγειν
ἐνθυμεῖσθαί τε εὐχαριστεῖν τε,
ὡς ἂν ἔχοιμι εἰς τὸν αἰῶνα
ἀνυμνεῖν τε αὐτὸν ἀγαπᾶν τε
ὑπὲρ τῶν μοι εὐεργετημάτων.
Ἐπὶ τούτοις γὰρ ἅπασι τί ποτ'
ἀποδοίην αὐτῷ ὁ παντλήμων
οὐδὲν ἔχω εἰμὴ ἐκ καρδίας
ἀγαπᾶν τε αὐτὸν καὶ λατρεύειν.
Οὐδὲ ἄμεινον γάρ ποτε ἄλλως
οὐδὲ μᾶλλόν ποτε προσηκόντως
ἢ διὰ τῆς ἀγάπης ἂν μόνης
ὁ εὐγνώμων εὖ ἀνταποδοίη,

ὅπερ ἀγαπηθεὶς ὑπὸ ἄλλου
ἀπηνέγκατο πρὸς σωτηρίαν.

Ὦ, σκέψαι δή μοι, ἄνθρωπε, τί ποτε ἦν καὶ τί σοι νῦν
ἐγένετο· καὶ στάθμισον, ὁπόσης ἀγαπήσεως
οὗτός ἐστίν σοι ἄξιος ὁ ταῦτ' ἀπεργασάμενος.
Βλέπε ἀνάγκην τὴν ἐν σοί, βλέπε τὴν ἀγαθότητα
τὴν ἐξ αὐτοῦ τὴν περὶ σέ, καὶ σκόπει πῶς ἂν χάριτας
αὐτῷ ταχέως ἀποδῷς, καὶ ὅσον προσοφείλων εἶ
τῇ τε ἀγάπῃ τῇ αὐτοῦ καὶ τῇ αὐτοῦ χρηστότητι.
Ἐν ζόφῳ ἦσθα πρότερον, ἐχώρεις δ' ἐν ὀλισθηρῷ
ὑπάγων ἐς τὸ κάταντες καὶ σπεύδων ἐπὶ χάσματος
μὴ νόστον ἐπιτρέποντος.
Ἀστάθμητόν τι βάρος σε βαρῦνον ὥσπερ μόλυβδος
ἀπηρτημένον ἐκ τοῦ σοῦ τραχήλου πρὸς τὸ βάραθρον
καθεῖλκε καὶ παρέσυρε· φορτίον δὲ ἀβάστακτον
ὕπερθεν ἐπιθλῖβόν σε σὲ ἐπικατεπίεζεν·
ἐχθροὶ δὲ μὴ ὁρώμενοι παντοίαις πείραις πάντοτε
ἐπικατήπειγον σφοδρῶς· ὁ δὲ ἁπάσης ἔρημος
ἐπικουρίας ἔμενες, οὐδ' ᾔδεις, ὡς οὕτω ποτὲ
καὶ συλληφθείης ἀληθῶς, καὶ κισσηθείης ἀπ' ἀρχῆς.
Ναὶ δήπου ἐν τῷ σκότει ἦν· οὐδὲν γὰρ οὐδ' αὐτὸν ἐμὲ
εἰδὼς ἐγίγνωσκόν ποσῶς.
Καὶ ἔβαινον ὡς ἐν νυκτὶ χωρίῳ ἐπ' ὀλισθηρῷ
ὅτι καὶ πέλων ἀσθενὴς διῆγον ἀσυναίσθητος
ἐν ἁμαρτίας πτώματι.
Κατεφερόμην δὲ ταχὺς χωρῶν ἐπὶ τὸ κάταντες,
ὅτι πρὸς Ἅδου βάραθρον τὸ βάρος τῆς προγονικῆς

κατέσπα παραπτώσεως ἄνωθεν ἐπιβρῖθόν μοι.
Οἱ δ' ἀντιπολεμοῦντές μοι ἐπέκειντό μοι δαίμονές,
ἵνα διὰ πλειόνων τε ἄλλων ἁμαρτημάτων με
πλείονος κατακρίσεως ποιήσωσί με ἔνοχον.
Οὕτως διαποροῦντί μοι οἵας οὖν βοηθήσεως,
ἐμοὶ Θεὲ ἐπέλαμψας· ὑπέδειξάς μοι ὁ Θεὸς
τὸν μόλυβδον καθέλκοντα καὶ ἄχθος τὸ ἐπιβαροῦν
Σὺ ἀπ' ἐμοῦ ἀπέστησας, καὶ ἀπεκρούσω δυσμενεῖς
τοὺς ἐπικατεπείγοντας· τὴν μὲν γὰρ ἁμαρτίαν μου
ἐν ᾗ περ συνελήφθην τε ἐν ᾗ τε ἀπεκίσσησεν
ἡ μήτηρ μου ἐξήλειψας καὶ τὴν ἐκ ταύτης ἐνοχὴν
καὶ τὰ τῆς πονηρίας Σὺ τὰ πνεύματα ἀπήλασας
τοῦ μὴ ἐπηρεάζειν πως πρὸς βίαν τῇ ἐμῇ ψυχῇ·
εἰργάσω δὲ χριστιανὸν ἀποκαλεῖσθαί με τῷ σῷ
σωτηριώδει ὀνόματι δι' οὗ σοι καθομολογῶ,
αὐτὸς δ' ἐπιγινώσκεις με ὡς ὄντα ἕνα καὶ ἐμὲ
τῶν οὓς Σὺ ἐξηγόρασας.
Ἀνήγειράς με τοιγαροῦν ἀνύψωσάς τε πρὸς τὴν σὴν
ἀγάπην καὶ ἐπίγνωσιν, ἐποίησας μ' ἐπιθαρρεῖν
τῇ σωτηρίᾳ τῆς ψυχῆς ὑπὲρ ἧς ἔθου Σὺ αὐτός,
Χριστέ, τὴν σεαυτοῦ ψυχήν· ἵνα δ' ἀκολουθήσω σοι
τὴν σὴν προεπηγγείλω μοι δόξαν τὴν ἐν τοῖς Οὐρανοῖς.
Καὶ νῦν δὴ καίτοι μὴ καλῶς ἀκολουθοῦντα, Κύριε,
οὐχ ὅπως μὲ παρῄνεσας τοῖς ἴχνεσι ἀκολουθεῖν
ἀλλὰ καὶ πλεῖστα ἄτοπα τὰ ἀπαγορευθέντα μοι
ἐμὲ ἐπιτολμήσαντα μὲ περιμένεις ἔτι νῦν,
ἵνα ἐγώ μεν σοὶ Χριστὲ ἀκολουθήσω ἀκλινῶς,
αὐτὸς ἐμοὶ παράσχῃς δὲ ὅσα προεπηγγείλω μοι.

ΚΕΦΑΛΑΙΟΝ Β'.

Ὅτι ἑαυτοὺς ὅλους, καὶ ἔτι, Θεῷ προσοφείλομεν.

Ἀναλόγισαι δή, ὦ ψυχή μου
καὶ προσέχετε δὴ τὰ ἐντός μου,
ὅσον, ὅσον Θεῷ ἐποφείλει
ἡ ἐμὴ ἐπουσίωσις ὅλη.
Πάντως δήπου, Θεέ, ἐπειδή περ
Σὺ αὐτὸς εἶ ὁ μὲ πλαστουργήσας
ἐμαυτὸν σῇ ἀγάπῃ ὀφείλω,
μᾶλλον δὲ καὶ τοσούτῳ δὴ πλεῖον
ἢ αὐτὸς ἐμαυτὸν προσοφείλω
τῇ ἀγάπῃ τῇ σῇ, ποιητά μου,
ὅσῳ μείζων αὐτός μου ὑπάρχεις,
ὑπὲρ οὗ σεαυτὸν δέδωκας Σὺ
καὶ ᾧ σὺ σεαυτὸν ἐπιδώσειν
Σὺ αὐτῷ, ἀγαθέ, ἐπειγγείλω.
Τοιγαροῦν, Ποιητά, δέομαί σου,
τοῦτο ποίησον ἵνα οἰκτίρμον
διὰ τῆς ἀγαπήσεως φάγω
ᾧ περ ἐστιαθήσομαι, Σῶτερ,
διὰ τῆς ἐπιγνώσεως μόνης!
ἵνα ἐκ διαθέσεως πόθου
αἴσθωμαι, οὗ αἰσθάνομαι, Λόγε,
ἐκ τῆς διανοήσεως μόνης.



*Ἐγὼ πλεῖόν σοι, Σῶτερ, ὀφείλω
ἢ ἐμέ γε αὐτὸν ὄντως ὅλον·
ἀλλὰ οὔτε δὴ πλεῖόν τι ἔχω,
οὐδ' αὐτὸ τοῦθ' ἐγὼ ὅπερ ἔχω,
ἀποδοῦναί σοι δύναμαι ὅλον
ἀπ' ἐμοῦ γε αὐτοῦ ποιητά μου.
Σὺ αὐτός με Σὺ Κύριε ἕλξαι
πρὸς τὴν σὴν ἐξαγάπησιν, Σῶτερ·
ἐπεὶ τοῦτό τε ὅπερ εἰμί νῦν
ὅλον σοῦ ἐστιν Κύριε πάντων·
Τὸ σὸν ἄρα ὑπάρχον, Χριστέ μου,
ἐν τῇ φύσει καὶ τῇ καταστάσει,
εἶναι ποίησον καὶ τῇ ἀγαπήσει,
Ἡ καρδία μου, ἴδε, Θεέ μου,
σοῦ ἐνώπιον εὕρηται ὅλη
καὶ πειρᾶται μὲν δὴ προσελθεῖν σοι,
ἀλλὰ καθ' ἑαυτὴν οὐκ ἰσχύει.
Ποίησον Σύ ὃ αὕτη οὐ σθένει
ἐκτελέσαι ἐξ ἀδυναμίας.
Καταξίωσον Σὺ τῆς παστάδος
τῆς ἀγάπης τῆς σῆς με γενέσθαι
ποιητά μου ἐντός, δέομαί σου.
Ἰδοὺ κρούω ζητῶ ἐξαιτοῦμαι·
ὁ ποιῶν με αἰτεῖν, ποίησόν με
καὶ λαβεῖν· τὸ ζητεῖν Σύ μοι δίδως,
Σὺ ἐπίδος καὶ τὸ ἐξευρεῖν με.
Σύ με κρούειν Χριστέ με διδάσκεις,
ἄνοιξόν μοι τῷ κρούοντι ἤδη·*

*Τίνι δίδως, εἴ περ ἀπαναίνει
τῷ αἰτοῦντι; τίς δέ γε εὑρήσει,
εἴπερ σοι ὁ ζητῶν ματαιάζει;
τίνι δὲ τῶν θυρῶν σου ἀνοίγεις,
εἰ τῷ κρούοντι ἐπιζυγοῖς μοι;
τί δὴ τῷ μὴ ἱκέτῃ παρέχεις,
εἰ ἀπονεύεις τῷ ἐκλιπαροῦντι;
Παρὰ σοῦ τὸ τυχεῖν μοι ὑπάρχει·
τὴν ψυχὴν τὴν ἐμὴν σοὶ κολλᾶσθαι
παρὰ σοῦ ὁ Θεός μου ἐθέλω.
Ὑπεράγαθε Κύριε πάντων,
τὴν ἀγάπην τὴν σὴν ἡ ψυχή μου
τῷ λιμῷ συσχεθεῖσα ἐκλείπει,
Σὺ αὐτὴν νῦν ἀνάψυξον. Σῶτερ·
τὸ σὸν φίλτρον ἐπαναρρωσάτω,
λιπανάτω αὐτὴν ὁ σὸς πόθος
πιανάτω αὐτὴν ὁ σὸς ἔρως,
ἐμπλησάτω με ὅλον Χριστέ μου,
ὅλον μὲ ἐπικαταλαβέτω,
ὅλον, ὅλον ἐπικατασχέτω.
Οἶδα, κύριε, ὁμολογῶ τε,
οἶδα ὅτι ἀνάξιος πέλω
τῆς ἀγάπης τῆς σῆς Ἰησοῦ μου,
ἀλλὰ ἤ που καὶ ἄξιον ἔστιν
δίκαιόν τε ἐστι τὸ σὸν πλάσμα
σοὶ δουλεύειν ἀεί, ποιητά μου.
Δός μοι οὖν ὁ Θεός μου Σὺ δός μοι
ὡς καθάπερ Σὺ ἄξιος πέλεις,*



οὕτως ἄξιος σῇ βοηθείᾳ
ἔσομαί γε κἀγὼ ὁ παντλήμων,
ὡς ἀνάξιος ὅλος ὑπάρχω·
ποίησον δή, ᾧ τρόπῳ ἐθέλεις,
παύσασθαί με τοῦ ἐξαμαρτάνειν,
ἵν' ὃν τρόπον ὀφείλω δουλεύειν
ἔχοιμί σοι δουλεύειν, Θεέ μου.
Χάρισαί μοι τὸν βίον μου οὕτω
ὁ Θεός μου σοι διατηρῆσαι,
ἀπευθῦναι σοι, διεκπερᾶναι,
ὥστε με κοιμηθῆν' ἐν εἰρήνῃ
καὶ ἐν σοί γέ με καθηρεμῆσαι.
Σὺ παράσχου δ' ἐμοὶ ἐπὶ τέλους
τὸ ὑπνῶσαί σοι ἐν ἀναπαύσει,
παρὰ σοί τέ με ἀναπαυθῆναι
ἐν τελείᾳ γέ με ἀσφαλείᾳ,
ἀπολαῦσαι δὲ τῆς ἀσφαλείας
τῆς ἐν τῇ αἰωνιότητί σου.

ΚΕΦΑΛΑΙΟΝ Γ'.

Ὁ περὶ Θεὸν πόθος.

Ὦ Κύριέ μου Ἰησοῦ Χριστέ, ὁ λυτρωτής μου,
Χριστὲ ἡ σωτηρία μου, Χριστὲ τὸ ἔλεός μου,
σὲ ἀνυμνῶ ἀπὸ ψυχῆς μέσης εὐχαριστῶ σοι.

Ἡ σή μ' ἐποίησε Θεέ πολλή σου ἀγαθότης,
καὶ σή με ἀπεκάθηρεν πολλὴ φιλανθρωπία
τοῦ ῥύπου τοῦ προγονικοῦ.
Ἡ σὴ μακροθυμία δὲ ἐμὲ μετὰ τὴν κάθαρσιν
ἐν ἄλλοις κυλινδούμενον ἁμαρτιῶν ῥυπώμασιν
ἐς τόδε με ἠνέσχετο, ἐς τόδε διεθρέψατο,
ἐς τόδε περιέμεινε.
Ὁ Κύριός μου καὶ Θεός, ὁ ποιητὴς καὶ πλάστης μου,
ὁ ἀντιλήπτωρ ὁ ἐμός. Σὲ ὁ Θεὸς ἐγὼ διψῶ,
Σὲ δὲ πεινῶ καὶ Σὲ ποθῶ, πρὸς Σὲ στενάζω ὁ Θεός;
καὶ Σοῦ δὲ καθιμείρομαι.
Ἐπιεικέστατε Θεέ, πραότατ' ἀγαθώτατε,
Θεέ μου γαληνότατε, Σὲ βούλομαι καὶ Σὲ ζητῶ
καὶ δὴ ἐλπίζω ἐπὶ σοί.
Θεέ μου ἀπηνήνατο παρακληθῆναι ἡ ψυχή,
εἰμὴ ἐπὶ τῇ μόνῃ σοὶ πανευφροσύνῃ τῇ ἐμῇ.
Ὦ Δέσποτα νῦν ἄγε δὴ ἐμφάνηθι τῷ δούλῳ σου,
κἀγὼ παρακληθήσομαι.
Ἐπίφανον τὸ πρόσωπόν σου, πλάστα, καὶ σωθήσομαι·
Σὺ πάρεσο μοι, Κύριε, καὶ ἡ ἐπιθυμία μου
ταχέως ἐμπλησθήσεται·
Σὺ ἀποκάλυψον ἐμοί, Χριστέ, τὴν θείαν δόξαν σου
καὶ ἡ χαρά μου ἐντελὴς εἰς τάχος ἔσται, Κύριε.
Ἐδίψησέ Σε Θεὲ ἡ ψυχή μου,
αὐτὴ τε ἡ σάρξ μου ἐδίψησέ Σε
ομῶς παρακλήτωρ ὢ πότε ἥξεις,
ὃν ἀπεκδέχομαι ἐπιστενάζων;
Ὦ... εἴ ποτε δὴ ἐπόψομαι ὅλως




τὴν εὐφροσύνην μου καὶ τὴν χαράν μου,
ἥν περ ἐπόθησα ποθῶν ὡς σφόδρα,
Εἰ χορτασθήσομαι ἐνατενίζων
αὐτοῦ τὴν δόξαν ἥνπερ πεινῶ γε!
εἰ μεθυσθήσομαι ἀπὸ τοῦ οἴκου
πιότητός σου πρὸς ἣν στενάζω!
Εἰ ποτιεῖς με ἐκ τοῦ χειμάρρου
τῆς ποθητῆς μου θείας τρυφῆς σου,
ἧς περ συνέχομαι ἀπὸ τῆς δίψης!
Παράσχου, Κύριε, ἄρτον δακρύων,
θλίψεως ἄρτον ἐπί μοι ταύτης
τῆς ὑπερορίας, οὗ περ τυγχάνω
ἐγὼ λιμώττων, τοῦ μοι ἐσομένου
βελτίονος τὲ καὶ περιουσίας τῆς ἐν γῇ ἁπάσης,
τρυφῶν παντοίων καὶ τέρψεών τε.
Ἔστω μοι τέως τὰ δάκρυά μου
ἄρτος ἡμέρας, πόμα νυκτός τε.
ἕως ῥηθῇ μοι, ἰδοὺ ὁ Θεός σου·
ἕως ἀκούσωμαι, Ἰδοὺ ὁ Νυμφίος·
Σὺ ὁ θεός μου ὢ Σὺ ποίμανόν με
ἐν τῷδε τῷ βίῳ ἐν ὀλολυγαῖς μου,
καὶ ἐν ταῖς ὀδύναις μου ἀνάψυξόν με.

ΚΕΦΑΛΑΙΟΝ Δ'.

Ἡ ἐκ φαύλης τε καὶ μοχθηρᾶς συνειδήσεως ἀθλιότης

Ὁ Θεὸς ὁ ποιητής μου, οἷον Σὺ ἐποίησάς με,
οἷος δὲ ἐγὼ ὑπῆρχον; οἷον Σὺ ἐποίησάς με,
οἷον δ' ἐμαυτὸν ἐς αὖθις διαστρέψας εἰργασάμην;
Ἐν γὰρ ἀνομίαις ὅλος, ὁ Θεός μου, συνελήφθην
καὶ ἐν ἁμαρτίαις ὅλος εἰς τὸν κόσμον ἐγεννήθην,
ὁ δὲ αὖ ἀπέπλυνάς με, αὐτὸς καθηγίασάς με,
ἐγὼ χείροσι δὲ ἔτι καὶ ἐν βαρυτέροις αὖθις
ἁμαρτήμασιν ὁ τάλας ἐβεβήλωσα ποικίλοις
ἐμαυτὸν ἐμόλυνά τε.
Καὶ ἐν ἀναγκαίοις τότε ἐγὼ ἄκων ἐγεννήθην,
ἔπειτα δ' ἐν ἑκουσίοις αὐτὸς ἐνεκαλινδήθην
Οἴμοι, οἴμοι τῷ ἀθλίῳ, οἲ ἐμοὶ τῷ παναθλίῳ!
ὡς πανάθλιος γὰρ πέλει ὁ στρεβλούμενος ἀπαύστως
ὑπὸ τῆς αὐτοῦ ἰδίας συνειδήσεως, ἣν ὅλως
ἀποδρᾶναι οὐκ ἰσχύει· ὃν ἐκδέχεται ἡ δίκη,
ἣν οὐ δύναται ὁ τλήμων ἀπ' αὐτοῦ νῦν παρεκκλῖναι.


Ὡς λίαν ἔστ' ἐλεεινὸς ὁ καθιστάμενος αὐτὸς
ἑαυτῷ φρίκης πρόξενος· πολλῷ δ' ἐλεεινότερος
ὃς φθάσας προαισθάνεται τῆς αἰωνίου τελευτῆς.
Ὡς σφόδρα τάλας δέ ἐστιν ὁ ὑποπτήσσων διαρκῶς
τὰ δείματα τὰ ἐπὶ τῆς αὐτοῦ ἰδίας συμφορᾶς·
πολλῷ δ' ἔτι ταλάντερος, ὃν αἱ ὀδύναι αἱ ὑπὲρ



τῶν ἑαυτοῦ ἁμαρτιῶν βασανιοῦσιν διαρκῶς.
Δεινὸν μὲν τόδε τὸ δεινόν, ἐπίσης τόδε πέφυκε,
ἀλλά μοι ἧττον μὲν τὸ μέν, τὸ δέ μοι μᾶλλον πέφυκεν·
τὸ δ' εἰς Θεὸν ἐξαμαρτεῖν, ὡς λίαν μοι πικρόν ἐστι
καὶ χαλεπὸν καὶ πάνδεινον.
Ὢ ἁμαρτάδες, ῥᾴστας μὲν σεῖς τὰς εἰσόδους ἔχετε,
ὡς δυσχερεῖς καὶ δυσπαλεῖς δὲ τὰς ἐξόδους ἔχετε!
προτρέπουσαι γὰρ θέλγετε, πείσασαι δὲ τιτρώσκετε
ἄχρι θανάτου τὴν ψυχήν· οὓς ἂν δὲ ὑπαγάγοιτε,
ἔντισιν, ἁμαρτήσαντας, οἷον ἀσκοῖς αὐτοὺς ὑμεῖς
φορμορραφεῖτε ἐγκλείσασαι ἐν τοῖς φορμοῖς ἐξ ὑπαρ-
Σύνετε ἁμαρτήμασι περιπεσόντες ἄνθρωποι, [χῆς.
ὅσον κατάπικρον κακὸν τὸ καταλείπειν τὸν Θεόν.
περιπεσόντες ἄνθρωποι ταχέως ἀνανήψατε,
ταχέως ἐπιστράφητε, μηκέτι ἁμαρτάνετε,
ὅλως (φημὶ) μηδόλως δὲ ἄνθρωποι ἁμαρτάνετε.
Δεινὸν γὰρ ὄντως καὶ πικρὸν τὸ ἁμαρτάνειν πρὸς
[Θεόν·
ἐκ πείρας ταῦτα φθέγγομαι· ἐν τούτῳ γὰρ αὐτῷ εἰμι.
Ἤτοι γὰρ αἱ ἐνδελεχεῖς ἀνίαι καταθλίψουσι
τὸν βίον ὅλον ἐφεξῆς ἐν μεταγνώσει ὀδυνηρᾷ
ἀπαύστως τε στρεφόμενον, ἢ περιοδυνίαι αὖ
αὗται διαιωνίζουσαι, τὴν τὰς δικαίας καὶ δεινὰς
κολάσεις τέως μου ψυχὴν τὴν ὑποστησομένην μοι
σφόδρα κατατρυχήσουσι. Δεινὸν δὴ καὶ κατάπικρον
τούτων ἑκάτερόν ἐστιν. Ἐξ ἀμφοτέρων, Κύριε,
ῥῦσαί με ὡς φιλάνθρωπος.

—

Πρὸ πάντων ταύτην, ὦ ψυχή, ἐγὼ καθυποβάλλω σοι
τὴν οἷόν περ τῶν ἀρετῶν μητέρα οὖσαν ἀληθῶς·
ἐγρηγοροῦσα πρόσεχε ἐν τῷ ἀναμιμνήσκεσθαι
τῶν πεπραγμένων σοι κακῶν, μήποτε ἄλλως ἐμπλα-
[κῇς
ἐν ταῖς παγίσι τοῦ ἐχθροῦ, ὅπερ συμβαίνει τοῖς πολλοῖς
ἀπροφυλάκτως ἔχουσιν· οἵπερ ἐν ᾧ τὰς ἑαυτῶν
παρανομίας ἔμπροσθεν τῶν διανοίας ὀφθαλμῶν
ἀνακαλοῦσι λογισμῷ, διὰ τῆς ἀναμνήσεως
ἐπὶ τὴν ἡδονὴν αὐτῶν ἀφρόνως περιπίπτουσι
τὴν ἀπὸ τῶν ἀνομιῶν ἐγγινομένην εἰς αὐτούς.
τὰ πλεῖστα γὰρ κἀγὼ αὐτὸς ὁπόταν δὴ ἐνάρξωμαι
(κάτα γε χρείαν δή τινα) προσομιλῆσαι δή τινι,
αὐτίκα καταφέρομαι ὁρμῇ εἰς καταλαλιάν·
ἢ ἀνοήτως γοῦν ἐγὼ περί τινος διόμνυμαι,
ἢ ἐκ περιεργείας δὲ ἀπειροκάλου ἁλίσκομαι,
εἴτε αἰσχρότητάς τινων ἀτόπων ἐνθυμήσεων
καὶ ἀθεμίτους κἀναιδεῖς τινας κινήσεις ἐν ἐμοὶ
ἐγειρομένας αἴσθομαι.
Οὐαὶ τῆς τηλικαύτης μου ἕνεκα ἀθλιότητος!
Οὐαί μοι τῆς τοσαύτης μου τελείας ἀπωλείας μου!
Ὁπότε τῶν μὲν ὄπισθεν θέλω ἐπιλανθάνεσθαι
καὶ πρὸς τὰ ἔμπροσθεν ἀεὶ ἐθέλω ἐπεκτείνεσθαι,
οὐκ οἶδα ἐξ ὁποίας μου πολλῆς ἐλεεινότητος
ἐπὶ τὰ μάταια ἀεὶ καὶ ἐπὶ τὰ ἐπιβλαβῆ
ὁρῶ με ὀλισθαίνοντα· καὶ ὥσπερ εἴ τις θάνατος
αἴφνης μοι ἐπισκήψειε, ἢ ὥσπερ λυσσαλέος τις
κύων μοι ἐφορμήσειεν, ὅς τις οὐδὲ παιόμενος



τοῦ σπαραγμοῦ ἀπόσχοιτο τοῦ προστυχόντος οὐδα-
[μῶς,
οὕτω διατιτραίνει μου τὴν παναθλίαν μου ψυχὴν
ἡ τῆς σαρκός μου φλογερὰ καὶ ἄκρα ἡδυπάθεια,
ὥστε προσεπαισθάνεσθαι ἀντὶ τῆς ἐκ τῶν ἀρετῶν
ἀρρήτου εὐοσμίας μου, μιαρωτάτης δή τινος
καὶ ἀφορήτου ὀδωδῆς καὶ δυσωδίας φοβερᾶς
τῆς ἐκ τῶν ἁμαρτάδων μου.
Ὁμολογῶ σοι Ἰησοῦ, γλυκύτατέ μοι Κύριε,
καὶ νῦν ἀναπετάννυμι ἐνώπιόν σου τὰς ἐμὰς
παντοίας ἁμαρτίας μου καὶ θριαμβεύω πάσας μου
ἃς περιφέρω τῇ ψυχῇ ἐνδομυχούσας ἐν αὐτῇ.
Ἕνδεκ' ἐναριθμούμενα τάδ' ἐν ἐμοί εἰσί κακά·
Ἡ ὀργιλότης ἡ πολλή· ἡ Ἀτλησία· ἡ Θεῷ
ὡς λίαν γε νεμεσητή, καὶ τοῖς ἁγίοις ἅπασιν
ἐπιστυγὴς διχόνοια, καὶ ἡ Διχοφροσύνη δέ·
ἡ ἄκρα Ἀγανάκτησις, καὶ ἡ Ἀδημονία δέ·
ἡ Ἀκηδία ἡ πολλή· καὶ ἡ Μνησικακία δέ·
ἡ Λαιμαργία ἡ πολλή· ὁ τόσος Διαγογγυσμός·
ἡ τῆς Τρυφῆς σπατάλης τε ἐπιθυμία διαρκής·
σαρκὸς ἡ Ἡδυπάθεια· ὁ τῆς Ἀκολασίας τε
χειμὼν ὁ κατάπληκτος.

—

Καὶ πλεῖστα τούτοις ἄλλα γε προσέτι παραπλήσια,
ἐν οἷς ἐπηρεάζεται ἡ ἀλιτρώδης μου ψυχὴ
καὶ διασπᾶται δείλαιος.
Φεῦ, ὅσῳ ἀνεκτότερον κύων ἀπόζει σεσηπὼς
τοῖς προσεγγίζουσιν αὐτῷ ἢ ἡ πολυαμάρτητος

ψυχὴ ἀπόζει τῷ Θεῷ! Ὅσον δὲ μᾶλλον τῷ Θεῷ
αὕτη ἐπιστυγής ἐστι καὶ βδελυρὰ καὶ ἀηδὴς
ἤ περ ἐκεῖνος πέφυκε ἀνθρώποις ὢν δυσάιτητος!
Ὦ δένδρον ἄκαρπον ψυχή, ποῦ οἱ καρποί σου, δεῖ-
[ξον δή;
τὸ γὰρ τοιοῦτον ἄκαρπον δένδρον ἀξίνης καὶ πυρὸς
πρὸς καῦσιν ἄξιόν ἐστιν· ἐκκόπτεσθαι καὶ καίεσθαι
δέον ἐστίν, ὡς εἴρηται. Τίνες ψυχὴ οἱ σοὶ καρποί;
νύττουσαι ἄκανθαί εἰσιν, καὶ ἁμαρτίαι ἄπειροι
μεγάλως ἐμπικραίνουσαι· αἵ ὤφελον τιτρώσκειν σε
οὕτω ὦ τάλαινα ψυχή, ὥστε ἐπιταράσσειν σε,
οὕτω δὲ ἐμπικραίνειν σε, ὥστε γενέσθαι ἐξίτηλοι.
ἴσως μικρὸν εἶναι ἡγεῖ ψυχή μου τὸ ἁμάρτημα·
ἀλλ' οἴμοι τῷ ἁμαρτωλῷ! οὐχ ἁμαρτία οἷα δὴ
ὕβρις ἐστὶ πρὸς τὸν Θεὸν διὰ τῆς ἀθετήσεως;
ἡ δέ γε ὕβρις εἰς Θεόν, ὅσον κακὸν καὶ τολμηρόν!
Τίς ἆρά γε τολμήσειε ἐξαμαρτήσας εἰς Θεὸν
μικρὸν εἶναι ἡγήσασθαι τὸ ὑπ' αὐτοῦ ἁμαρτηθέν;
Θεέ μου ἀπειράγαθε, ὦ Ἰησοῦ μου Κύριε,
ἵνα δὴ τί ἐξ οὐρανοῦ εἰς γαῖαν κατελήλυθας;
τί δ' ἐξειργάσω, Κύριε, ἐν κόσμῳ κατεληλυθώς;
εἰς τί θανάτῳ σεαυτὸν ὦ Ἰησοῦ παρέδωκας,
ἢ εἰς τὸ σῶσαι Ἰησοῦ τοὺς τάλανας ἁμαρτωλούς,
ὧν πρῶτος, φεῦ! εἰμὶ ἐγώ;

—




ΚΕΦΑΛΑΙΟΝ Ε'.

Ἐπίκλησις τοῦ θείου ἐλέους

Ἀλλ' ὦ ψυχὴ ἁμαρτωλὸς ἀνάπνευσον, ἀνάπνευσον,
μὴ ἀπογνῷς ἀλλ' ἔλπισον, ἔλπισον ἤδη ἐπ' αὐτὸν
ὅνπερ ἐν δίκῃ δέδοικας· πρόσφυγε ἐπὶ τὸν αὐτὸν
ἀφ' οὗ ἀφρόνως ἔφυγες. Αὐτὸν ἐπικαλέσθητι
καὶ φορτικῶς δεήθητι, ὃν ἄγαν ὑπεροπτικῶς
ἀφρόνως τε παρώξυνας. Ναὶ ὁ ἐμὸς πανεύσπλαγχνος
γλυκύτατός τε Ἰησοῦς ἕνεκεν τοῦ ὀνόματος
τοῦ Σοῦ με πρόσδεξαι, Χριστέ· καὶ ποίησον, ὦ Ἰησοῦ,
κατὰ τὸ ὄνομα τὸ σόν, καὶ ἐπιλάθου, Κύριε,
τοῦ ὑπερόπτου τοῦ πολὺ ἀφρόνως παροξύναντος.
Ἔπιδε δὴ Σὺ ἐπ' ἐμὲ τὸν ἄφρονα ἐλεεινὸν
τὸν νῦν ἐπικαλούμενον τὸ ἅγιόν σου ὄνομα!
Τοὔνομα τὸ τερπνοποιόν, τοὔνομα τὸ ψυχαγωγοῦν
τὸν ἁμαρτήσαντα πρὸς Σέ, τὸ τῆς ἐλπίδος ὄνομα
τῆς θείας μακαρίας τε. Τί γὰρ σημαίνει Ἰησοῦς;
τί ἄλλο ἢ θεὸς Σωτήρ; Σαυτοῦ οὖν ἕνεκεν, Χριστέ,
γενοῦ μοι, λόγε, Ἰησοῦς Σωτὴρ ἐλέους ἡ πηγή!
Μὴ οὕτω πρόσχῃς, Κύριε, τῇ μοχθηρίᾳ τῇ ἐμῇ,
ὥστε ἐπιλησθῆναι Σύ, τῆς σῆς πολλῆς χρηστότητος.
Κύριε ἀπειράγαθε! εἰ εἰργασάμην νῦν ἐγὼ
δι' ὃ καταδικάσαι με ἐν δίκῃ ἔχεις, Κύριε,
μή τοι αὐτὸς ἀπέθου πω ὃ διασώζειν ἀγαπᾷς;

εἰ δέ γε τῆς ὀρθότητος τῆς ἐν ἀγνοίᾳ ἐμαυτὸν
ἐγώ γε ἀπεστέρησα, μὴ ἀντανεῖλον τὴν ῥοπὴν
τὴν τοῦ οἰκτείρειν τὴν ἐν σοί;
Ναὶ ἀληθῶς τὸ συνειδὸς τὸ ἐν ἐμοὶ ὁμολογεῖ
ἄξιον εἶναι τῆς ἐκ Σοῦ ἐσχάτης κατακρίσεως,
οὐδ' ἐξαρκοῦσα ἔστι δὲ πρὸς τὴν ἱκανοποίησιν
ὅλη ἡ μεταμέλεια. Ἀλλά γε πάντως ἡ ἐν σοὶ
φιλευσπλαγχνία, Κύριε, πάντων ὑπέρκειται αὐτὴ
καὶ ὑπερβάλλει ἅπαντα, ἃ σοὶ προσέκρουσα ἐγώ.
Αὐτὸς δὴ τοίνυν, Δέσποτα, ἐκδυσωπῶ Σε, φεῖσαί μου
ὅς εἶ ἡ σωτηρία μου, ὁ μὴ βουλόμενός ποτε
τὸν θάνατον ἁμαρτωλοῦ· Σὺ οἰκτειρόν μου τὴν ψυχὴν
τὴν φιλοαμαρτήμονα. Σὺ λῦσον ταύτης τὰ δεσμά.
θεράπευσον τὰ τραύματα! Ἰδοὺ ἐγὼ κατέναντι,
Οἰκτίρμον, τὴν ἐμὴν ψυχὴν παρίστημι ἐκλείπουσαν
καὶ παραλελυμένην δὲ τοῖς νεύροις τοῖς τῶν ἀρετῶν,
πεπεδημένην δ' ἐν σειραῖς παραπτωμάτων, Κύριε.
τὴν ὑπὸ τῷ φορτίῳ δὲ βεβαρημένην πέλουσαν
πολλῶν ἀμπλακημάτων μου, τὴν κατεσπιλωμένην δέ,
ἐν ῥύποις παρανομιῶν παντοίων, τὴν τοῖς τραύμασιν
ἐσπαραγμένην παρὰ τῶν δαιμόνων, τὴν ἐν ταῖς οὐ-
[λαῖς

ἀνομημάτων σφόδρα γε ὑπομυδῶσαν τε αὐτὴν
δεινῶς ἀποδωδυῖάν τε, καὶ τοῖς τοιούτοις δὲ κακοῖς
ἄλλοις χαλεπωτάτοις τε (ἅ περ αὐτὸς Σὺ ἄμεινον
ἤ περ ἐγὼ δὴ καθορᾷς) ἐστοιχισμένην κυκλικῶς,
συνειλιγμένην δὲ αὐτήν, συγκεχωσμένην δ' ἅπασαν
καταπιεζομένην δέ, καὶ ἀμοιροῦσαν ὅλως δὲ



Τῆς ἐκ παντὸς δὴ ἀγαθοῦ ἐπικουφίσεώς τινος
ἢ καὶ μικρᾶς ἀναψυχῆς. Ἰδοὺ δὴ ὅση μού ἐστιν
ἡ ἀθλιότης, Κύριε, ἥτις ἐμὲ στενοχωρεῖ.
Ὢ πρόφθασον, ἀντιλαβοῦ, βοήθησόν μοι, Κύριε,
Ὢ εὐσπλαγχνία ἄπειρος ἡ διὰ πάντων πάντοτε
διήκουσα, ἡ πάντοτε ἐφαπλουμένη ἐφ' ἅπαντας.

—

Οἴμοι, οἴμοι τῷ ἀθλίῳ! οἴ ἐμοὶ τῷ παναθλίῳ
τῷ ἀεὶ ἁπανταχοῦ τε καὶ ἐν πᾶσι τρισαθλίῳ!
ὅση ἡ αἰχμαλωσία τοῦ ἐλεεινοῦ ἀνθρώπου!
ἐὰν μὲν κακῶς τυγχάνῃ ἐν τῷ κόσμῳ βιοτεύων
ἀναπέπταται αὐτῷ νῦν τὸ τῆς καταδίκης βῆμα·
ἐὰν δὲ καλῶς δοκοίη βιοτεύειν ἐν τῷ κόσμῳ,
ἀλλ' ἐπὶ τὴν φυλακὴν δὴ τὴν ἰδίαν οὐ προσέχει
καὶ θαρρῶν αὐτῷ εἰς μάτην βρευθυόμενος ἀφρόνως,
παραπέσῃ πως ἐκκλίνας, ἔμπαλιν τῷ τρισαθλίῳ
παρὰ πόδας τούτῳ ἥξει, φεῦ, ὁ θάνατος εἰς τέλος
ἔψεται δὲ καὶ ἡ ψῆφος ἡ μὴ ἔξουσά τι τέλος.

—


Τοῦ ἀθλίου δὲ ἀνθρώπου πέλουσιν ἐχθροὶ παντοῖοι.
μωρὰ ὑπερηφάνεια, ἄλογος καινοδοξία,
βασκανία, καὶ φαυλότης, ὑφ' ὧν καὶ παρενοχλεῖται
καὶ ἐπηρεάζεται δὲ ἐν τῷ βίῳ ὁ παντλήμων·
καὶ εἰμὴ τὸ θεῖον κράτος ἐπαμύνῃ αὐτῷ προφθάσαν,
τραυματίζεται ὁ τάλας τὰ πολλὰ ἕως θανάτου.
Ρῦσαί με, Θεὲ οἰκτίρμον, τῶν τοιούτων πολεμιῶν
ἀφ' ὧν οὐκ ἐγὼ ἰσχύω ἐμαυτὸν ἐξαπαλλάξαι·
ἡ καρδία μου γὰρ ἤδη ἔφθαρται καὶ ἐξετράπη,

καὶ πρὸς μὲν τὸ θρηνῳδεῖν με ἐπὶ τοῖς ἡμαρτημένοις
αὐχμηρά τις καὶ λιθώδης ἡ καρδία μου κατέστη,
πρὸς δὲ τὸ αὐτὴ ἀντέχειν τοῖς αὐτῇ ἐπικειμένοις
καὶ προσβάλλουσιν ἀπαύστως, ἁπαλή τις καὶ πηλώ-
[δης.

καὶ τοῖς μὲν ἐπιβλαβέσι ἐγχειρεῖν καὶ τοῖς ματαίοις,
ὀξυκίνητός τε ἔστι καὶ ἀκάμαντος πρὸς ταῦτα,
τοῖς σωτηριώδεσι δὲ μελετᾶν τε καὶ προσέχειν
ἀνορέκτως ἔχει ὅλως ἡ ψυχὴ καὶ ἀκινήτως.
Ἡ ψυχὴ διέστραπταί πως καὶ ἀπεκακύνθη ὅλη·
πρὸς τὸ ἐκτραχηλισθῆναι καὶ ἐγκατακυλισθῆναι
ἐν παντοίαις μοχθηρίαις πάνυ εὐχερὴς τυγχάνει
καὶ ἑτοίμη κινηθῆναι· τῆς δ' ἰδίας σωτηρίας
ὁπωσοῦν ἐπιμνησθῆναι πάνυ δυσχερὴς ὑπάρχει
καὶ ὡς λίαν ὀκναλέα.

—

Μακρὸν καὶ χαλεπόν ἐστι τὸ καταλέγειν ἕκαστα·
Γαστριμαργίαν, κόρον τε καὶ ὑπνηλότητα πολλήν,
τὴν ἐλαφρίαν τοῦ νοὸς καὶ ἀτλησίαν τῆς ψυχῆς,
κενοσπουδίαν περισσήν, τοῦ πέλας καταλαλιάν,
ἀπείθειαν καὶ τἄλλά τε πολλά μου ἐλαττώματα,
ὑφ' ὧν ἡ τάλαινα ψυχὴ ἄθυρμα καθημερινὸν
καθισταμένη θραύεται, πατεῖται καὶ ἀπόλλυται.
Σὺ λύτρωσαι αὐτὴν Θεὲ καὶ τάχει ἀποφόρτισον
πιεζομένην ἰσχυρῶς τῷ ὄγκῳ τῶν ἁμαρτιῶν.
ἀπόλυσόν μου τὴν ψυχὴν συνδεσμουμένην ταῖς σειραῖς
ταῖς τῶν πλημμελημάτων μου· ἀπάλλαξον ἐν ἄρκυσι
παραπτωμάτων ἱκανῶν σαγηνευθεῖσαν, Κύριε,



κειμένην κάτω ἔγειρον καὶ πλανωμένην ἄνεχε,
τοῖς ὅπλοις τοῖς τῶν ἀρετῶν οὖσαν καθ᾽ ὅλου ἄοπλον
κατάφραξον πνευματικοῖς. Σὺ ἐγγυμναζομένην δὲ
ἐν τῷ πολέμῳ φύλαττε, φρούρει καὶ σκέπε, Κύριε,
τὸν ταύτης δὲ πολέμιον νεύματι ἐκπολέμησον.

—

Πανάγαθέ μου Ἰησοῦ, ἴδε μου τὴν ταπείνωσιν
ἴδε δὴ καὶ τὸν κόπον μου καὶ ἄφες μοι, σοῦ δέομαι,
πάσας τὰς ἁμαρτίας μου· γενοῦ δὴ Σύ μου βοηθὸς
καὶ μὴ ἐγκαταλίποις με μηδ᾽ ἀποσκορακίσαις με,
ἀλλὰ με δίδαξον ποιεῖν τὸ ἅγιόν σου θέλημα.
Ὦ ἐπιμαρτυρείτω σοι ἡ πολυώδυνος ψυχὴ
ἐφ᾽ οἷς τὸ στόμα μου, Θεέ, Σοὶ ἐξομολογεῖται νῦν.
Βοήθησόν μοι, δέομαι, πανεύσπλαγχνε μακρόθυμε
καὶ πανοικτίρμων Κύριε, ὑπὲρ ὃ δύναμαι αὐτὸς
κατανοῆσαι ὁ Θεός, ἵν᾽ οὕτως τοῦτ᾽ αὐτὸ ἐγὼ
(λέγω τὴν σὴν βοήθειαν) ἔχοιμι ἐπαισθάνεσθαι,
ἐλπίζειν ὡς προάγομαι.

—

ΚΕΦΑΛΑΙΟΝ Ϛ'.

Ἁμαρτωλοῦ ὁ κίνδυνος ὅσος

Ὦ τὰ ἁμαρτήματά μου ὡς μεγάλα ἐστὲ λίαν
καὶ ὡς πλεῖστά ἐστε σφόδρα.

ὁ κρίνων δ᾽ ἀκριβὴς φρικτῶς, κἂν μὴ ὑπάρχοι, αὐ-
[στηρός.

Αὐτοῦ γοῦν οὐ μετρίως μοι παροξυνθέντος σφόδρα τε
παροργισθέντος κατ᾽ ἐμοῦ, ἡ ψῆφος ἀπαράτρεπτος,
εἱρκτή τε ἀναπόφευκτος, ποιναὶ δὲ ἀδιάλειπτοι,
βασανισταί τε φοβεροὶ ἀνηλεεῖς ἀμείλικτοι
μηδέποτ᾽ ἀποκάμνοντες, μηδέποτε οἰκτείροντες.
τὸν δὲ ὑπεύθυνον αὐτὸν ὁ φόβος καταθορυβεῖ,
ταράσσει δὲ τὸ συνειδός, οἱ λογισμοὶ ἐλέγχουσιν,
οὐκ ἔστι δὲ διαφυγεῖν.
Ἰδοὺ εἰς ὅσον κίνδυνον περίειμι ὁ ἄθλιος
ἐφ᾽ ὅσον τόδε ἐς ἀεὶ ἀδιαλείπτως οὗ τελῶ
ἐπιδιανοούμενος. τοσούτῳ τ᾽ ἀθλιώτερος,
εἰμὶ τ᾽ ἐλεεινότερος, ὅτι ἐπιλαθέσθαι τε
οὐ δύναμαι ὁ ἄθλιος· ἀεὶ γὰρ καθορᾷ ἐμὲ
καὶ τἀνομήματα τἀμά.
ἀεί μοι ἡ ἀπότομος ψῆφος προδιαγγέλλεται.
ἀεὶ ὁ ᾅδης φάρυγγα διήνοιξέ μοι φοβερὸν
καί με ζητεῖ καταπιεῖν, καὶ δὴ ἐν τούτῳ ἕτοιμα
ἔστι μοι κολαστήρια· ἀεὶ δὲ ἐμπαράσκευοι
οἱ τὴν ἐμὴν ἐλεεινὴν ψυχὴν ἐπιβουλεύοντες
τοῦ διαρπάσασθαι ἐκεῖ.
Οὕτως εἰμὶ διαγρυπνῶν,
οὕτως καθεύδων τέ εἰμι, οὕτως ἡνίκα τε γελῶ,
οὕτως ὁπότε χαίρω πως, οὕτως ὁπότε ὡς μωρὸς
ἐπιαλαζονεύομαι, ἢ ἄλλων ὥσπερ ἀλαζὼν
ἐγὼ καταφρυάττομαι. οὕτως ὅτ᾽ ἐποργίζομαι
ἢ ἀνιῶμαι· οὕτως τε καὶ ὅτε τὰς σωματικὰς

τρυφάς καὶ ἀπολαύσεις πως αἱροῦμαι καὶ ἀσπάζομαι.
καὶ ἵνα εἴπω συνελὼν οὕτως ἀεὶ καὶ πανταχοῦ
ἔχων ἐγὼ διάκειμαι. Αἴ τῷ ἀθλίῳ μοι Αἴ! Αἴ!
ὤ ποῦ εἰμι; ποῦ νῦν εἰμι; οὐκ οἶδα γὰρ ὁ ἄθλιος
ὅπου ἐν ἀσφαλεῖ εἰμι

ΚΕΦΑΛΑΙΟΝ Ζ΄

Τοῖς ἁμαρτωλοῖς δεσμὰ καὶ εἱρκτὴ καὶ ζόφος.

Τῷ οἰκτρῷ οὐαί! τί δράσω; Οἴμοι! ὡς ἐπὶ πολὺ γὰρ
νῦν ἐξατονεῖ ὁ νοῦς μου! Οἴ! ἡλίκη ἀναλγησία
ἐσκληρύνθη ἡ καρδία! τί τὸ οὕτω μ' ἀνακόπτον;
τί τὸ οὕτω τὸν αὐχένα τὸν ἐμὸν καταπιέζον;
'Η ψυχή μου βούλεται, ναί, βούλεται, ὦ Δέσποτά μου,
ὡς σὲ μόνον ἀνατεῖναι τοῦ προσώπου αὐτῆς ὄψιν,
ἀλλ' ὁλκῇ ὡς μολυβδίνῃ αὕτη ἐπαχθοφοροῦσα
ἰσχυρῶς καταβαρεῖται. Καὶ ἐπείγεται τοῦ φόρτου
ἑαυτὴν ἐξαπαλλάξαι, ἀλλ' ἁλύσεσι δεσμεῖται,
περισφίγγεται δὲ σφόδρα. Καὶ ἀποπειρᾶται ναὶ μὴν
εἴ πώς ἐστιν αὐτῇ τρόπος τῆς εἱρκτῆς ἐξαπαλλάξαι,
ἀλλ' ἐν ᾗ εἱρκτῇ καθεῖρκται ἡ εἱρκτή ἐστι χαλκίνη.
Καὶ ἐφίεται τὰς ὄψεις ἐπὶ Σὲ ἐπαφιέναι,
ἀλλ' ἐπισκοτεῖται ὑπὸ ζοφερᾶς πολλῆς ἀχλύος.
Τίνα ταῦτα, ὁ θεός μου, ἐστὶ τὰ ἐπὶ ζοφοῦντα
οὕτω σφόδρα τὴν ψυχήν μου; τὰ καταβαρύνοντά τε,

οὕτως ἐγκαθείργοντά τε καὶ αὐτὴν καταδεσμοῦντα;
αὗται δῆθεν αἱ πολλαί μου, Κύριε μου, ἁμαρτίαι
αὗταί με καταζοφοῦσιν· μᾶλλον δὲ αἱ ἀνομίαι
αὗται πάντως με ζοφοῦσιν.

'Η τῆς σαρκὸς ἐμπάθεια αὕτη μοι ἐπεμώρανε
τὴν τῆς ἐμῆς πνευματικῆς ἡδύτητα τῆς γεύσεως·
ἡ δὲ ἐπὶ τὰ χαμερπῆ χαμαίζηλά τε ἔντασις
κατέκαμψέ μου ἰσχυρῶς τὸν νοῦν καὶ τὴν διάνοιαν
ἀπὸ τῆς ἀνατάσεως τῆς ἐπὶ τὰ ὑπέρτερα.
ὁ δὲ περὶ τὰ γήϊνα ἔρως ὁ χαμερπέστατος
ἀπέσβεσε τὴν ἐν ἐμοὶ τοῦ πνεύματος τερπνότητα
τὴν ἄνω τὴν ἐξ Οὐρανῶν. ἡ δὲ τῶν φαυλοτέρων αὖ
ἀνόητος κατάχρησις ἐξίτηλόν γε ἐν ἐμοὶ
πεποίηκε τὴν αἴσθησιν τῶν Οὐρανίων ἀγαθῶν.
Καὶ τῶν τοιούτων μὲν ἐγὼ ἀπεμακρύνθην ἀγαθῶν,
περὶ δὲ τὰ ἀβέλτερα καὶ πονηρὰ ἠσχόλημαι
'Εκείνων μὲν ἀποκλεισθεὶς ἐν τούτοις δὲ περισχεθείς·
ἐκείνων μὲν ἐκκυλισθείς, τούτοις δ' ἐγκαλινδούμενος.
'Εντεῦθέν μοι καὶ ἡ εἱρκτή, ἐντεῦθέν μοι καὶ τὰ δεσμά,
ἐντεῦθέν μοι ἡ ζόφωσις. ἐντεῦθεν καὶ τὰ ἀχθηρά.
Οὐαὶ ἐμοί ὅτι ἐγγύς ἐσθ' ἡ ἡμέρα τῆς ὀργῆς,
ἐγγύς ἐστιν αὕτη, φημί, ἀγνοουμένη δέ ἐστιν,
αἰφνίδιος δὲ ἔρχεται· καὶ τάχα ἔσται ἡ σήμερον.



ΚΕΦΑΛΑΙΟΝ Η'.


Ὅτι ὁ ἁμαρτωλὸς τυφλός ἐστιν ὀφθαλμοὺς ἔχων.

Νῦν πρὸς ὑμᾶς αὐτὰς εἰμὶ ἐγὼ διαλεγόμενος
τὰς ἁμαρτίας ἐμαυτοῦ. Ἆρ' οὖν, ὦ αὗται, φοβερὰν
τὴν ἄτην μοι ἐμέλλετε ἐπιμνηστεύσειν, ὅτε δὴ
ἀεὶ κατεποτίζετε τῇ παρ' ὑμῶν γλυκύτητι
τὴν παναθλίαν μου ψυχήν;
ἡνίκα οὕτω προσηνῶς, οὕτω ἡδέως τὴν ἐμὴν
καρδίαν προεχρίετε; Τί ταῦτά με ἐκρύπτετε ;
τί δὲ με προσεδώκατε ; Καί τοιγε οὐχ ὑμεῖς αὗται
αἱ ἁμαρτάδες αἱ ἐμαὶ ἐμὲ αὐτὸν προέδοσθε,
ἀλλ' ἐμαυτὸν αὐτὸς ἐγὼ φέρων παρέδωκα ὑμῖν
καταπιστεύσας ἑκοντί.
οὐχὶ ὑμεῖς αὗται ἐμὲ ποτὲ ἐξηπατήσατε,
ἀλλ' ἐμαυτὸν ἐγὼ αὐτὸς ὁ προελόμενος ὑμᾶς
κατ' ἐμαυτοῦ ὁ ἄθλιος καὶ ἀσπασάμενας ὑμᾶς.
Οἴμοι! τὶ ὅτι πρὸς ὑμᾶς τοσαύτην πίστιν ἔσχηκα ;
καὶ πῶς ἐμὲ αὐτὸν ἐγὼ ὑμῖν πως ἐνεπίστευσα;
ἀλλ' οὔτε ἔσχον ἐμαυτὸν, ἀλλ' οὔτε ἐνεπίστευσα.
ἀλλ' ἔχων ὀφθαλμοὺς ὁρᾶν ἐκτυφλωθεὶς οὐκ ἔβλεπον
καὶ ἐμαυτόν, οὐκ οἶδά πως, ὁ ἄφρων ἀφρονέστατα
ὑμῖν ἐγὼ παρέδωκα· ἔχων μὲν ὀφθαλμοὺς ὁρᾶν
ὅτ' ἐπεγίγνωσκον ὑμᾶς, καὶ ᾔδειν πάντα τὰ δεινὰ
ὅσα παρέπεται ὑμῖν, ἐκτυφλωθεὶς δέ πως ἐγώ,

ἐπεὶ οὐδόλως ἀφ' ὑμῶν ἐφυλαξάμην ὁ μωρὸς
οὐδ' ἀπεσχόμην ἀφ' ὑμῶν·

—

Ὦ ἁμαρτία, ὄνομα φρικῶδές τε καὶ φοβερόν,
χρῆμα στυγνὸν καὶ στυγερὸν κακόν τε ἀπαράβλητον!
ὁ ἁμαρτάνων οὐχ ὁρᾷ, ὥσπερ τυφλός, τὸν βόθυνον
εἰς ὃν ἐμπίπτει προχωρῶν. Ἄφρων, ἡγεῖται εὐχερὲς
ὃ καὶ ποιῆσαι δὴ τολμᾷ. Ὁ ἑκουσίως ἐκτελῶν
τὴν ἁμαρτίαν ἄνθρωπος αὐτὸς καὶ βλέπων ὀφθαλ-
[μοῖς,
γινώσκων καὶ κατανοῶν ὁρμᾷ ταχὺς κατὰ κρημνοῦ.
Ὁ μὲν γὰρ θάνατος καὶ τὰ παντοῖα κολαστήρια
εἰσὶ μὲν κολαστήρια, ἀλλ' ὅμως οὐκ εἰσὶν αἰσχρά.
ὁ νόμος διατάσσει γάρ, ἡ δ' ἁμαρτία αἶσχός τε
φέρει αὐτὴ καθ' ἑαυτὴν ἴδιον καὶ ἀΐδιον,
καὶ προμνηστεύει ἑαυτῇ καὶ σπᾶταί τε καθ' ἑαυτῆς
τὴν ἄκραν ἀθλιότητα τὴν μέλλουσαν παρέψεσθαι
εἰς τὸν αἰῶνα ἅπαντα. Καὶ βέλτιον δ' ἂν εἴη σοι
ἑλέσθαι κολαστήριον διαιωνίζον καὶ σκληρὸν
μὴ ἐπισῦρον αἶσχος δὲ αἰώνιον ὁλοτελῶς,
ἢ ἁμαρτίαν βδελυρὰν τὴν ἅμα τῇ αἰσχρότητι
ὀδύναι τε συνάπτουσαν ἀτελευτήτους καὶ δεινάς,
Καὶ ὄντως δήπου, ἄνθρωπε ταλαίπωρε, ἁμαρτωλέ,
μόνη φευκτέα μᾶλλόν σοι ἡ ἐν τῷ ἁμαρτάνειν σε
αἰσχρότης ἢ αἰώνιος ἢ οἱαδήτις κόλασις,
ὅσον ἂν εἴποις χαλεπή· Ἐν γὰρ τῷ ἁμαρτάνειν σε
αἰσχίστης ἐκ διατροφῆς σαυτὸν σὺ τίθης πρότερον



τοῦ κτίσαντός σε ὁπωσοῦν· τοῦ δὲ τοιούτου πράγ-
[ματος
γένοιτ' ἂν ἀθεσμότερον; ἐν δὲ τῷ φέρειν τὰς ποινὰς
καὶ τὰς κολάσεις ἐπὶ τῷ ἡμαρτηκέναι πρότερον
τάξει παγκάλῳ δή τινι εὐλόγως καθυπάγεται
τῷ ποιητῇ τὸ ποίημα, οὗ δικαιότερον οὐδέν·
ὦ ἄνθρωπε ταλαίπωρε, ἡ ἀνθρωπότης ἡ ἐν σοὶ
μὴ ἆρά γε ἀπώλετο; ποῖ δὲ ὁ λόγος ὁ ἐν σοὶ
ἐξώκειλεν, ὦ ἄνθρωπε; οὐχὶ ἀκούσας ἄνθρωπε
προεδιδάχθης ὅτι «πᾶς τὴν ἁμαρτίαν ὁ ποιῶν
ταύτῃ αὐτὸς δεδούλωται;» ὁ δέ, τὴν ἁμαρτίαν, φεῦ;
ποιῆσαι Σὺ προῄρησαι. Ὦ τῆς πολλῆς θρασύτητος
καὶ παρανοίας τῆς πολλῆς τῆς παραλόγου καὶ μωρᾶς
σφόδρα ἀτοπωτάτης τε πρὸς τὸ αἱρεῖσθαι, ἄνθρωπε,
ἐν γνώσει ἁμαρτάνειν σε! Ἤδεις ὡς πνεῦμα πέφυκας
εἰς ᾅδου πορευόμενον οὐκ ἐπιστρέφον δὲ ποτέ.
καὶ σεαυτὸν εἰς ἄβυσσον φέρων αὐτὸς ἐνέβαλες
τὴν μηδεμίαν ἔχουσαν διέξοδον, ὦ ἄνθρωπε,
μηδὲ πυθμένα ἔχουσαν.

ΚΕΦΑΛΑΙΟΝ Θ΄.

Περὶ τῆς τριττῆς Ἀβύσσου.

Ἄβυσσός ἐστι τῷ ὄντι τῶν ἀνομιῶν μου πλῆθος
ὅτι αὗται καὶ τῷ βάρει καὶ τῷ πλήθει καὶ τῷ βάθει

ἀπερίληπτοι κυροῦσι, καὶ ἀνεπιλόγιστοί τε
καὶ τῷ ἀριθμῷ καὶ μέτρῳ.
Ὦ Ἀβύσσου βάθος μέγα Ἄβυσσον ἐκκαλουμένης!
Ὤ μοι ὅτι αἱ πολλαί μου ἁμαρτίαι καὶ κολάσεις
ἐφ' αἷς ἔνοχος τυγχάνω, ἄβυσσοί εἰσι τῷ ὄντι
ἄπειροί τε οὖσαι πλήθει καὶ ἀκαταμέτρητοί γε!
Ἀλλὰ ἔστι (Φεῦ) καὶ τρίτη ἐπ' αὐταῖς Ἄβυσσος
[ἄλλη,
αὕτη δὲ φρικώδης λίαν «τὰ γὰρ κρίματα Κυρίου
Ἄβυσσος πολλή» ὑπάρχει· ἄδηλα καὶ κρύφια γάρ·
ὑπερβαίνοντα δὴ πᾶσαν τὴν κατάληψιν ἀνθρώπου.
Ἐπὶ τῷ Οὐαὶ οἰαί μοι, φόβος δὲ ἐπὶ τῷ φόβῳ,
ἄλγος τὲ ἐπὶ τῷ ἄλγει· Ἄβυσσος ἐπικαλεῖται
Ἄβυσσον, ὦ Κύριέ μου, εἰς φωνὴν καταρρακτῶν σου.
Ἡ γὰρ ἡ τῆς ἁμαρτίας Ἄβυσσος ἔνοχός ἐστιν
τῶν ποινῶν τῶν τῆς ἀβύσσου, ἣν σαφῶς προδιαγ-
[γέλλει
καὶ δὴ προδιαθεσπίζει, φεῦ, τὰ κρίματα Κυρίου.
Ἄβυσσος μὲν τῶν κριμάτων τοῦ θεοῦ ἐστιν ἡ πρώτη
ἐμοῦ ἄνωθεν τελοῦσα· Ἄβυσσος δὲ τῶν ἐν Ἅδου
ἀλγεινῶν κάτωθέν ἐστιν, αὕτη δ' ἐστιν ἡ δευτέρα,
Ἄβυσσος δ' ἐστιν ἡ τρίτη τῶν ἐμῶν ἁμαρτημάτων
τῶν ἐντὸς ἐμοῦ κυρούντων. Καὶ φοβοῦμαι δὲ καὶ
[τρέμω
μὴ ἡ Ἄβυσσος ἡ πρώτη ἡ τῶν ἄνωθεν ραγεῖσα
καὶ καταρροχθήσασά με καὶ τὴν ἐν ἐμοὶ τελοῦσαν
Ἄβυσσον ἁμαρτημάτων, ἐπὶ τὴν ἀνεῳγμένην
Ἄβυσσον τὴν κάτωθέν μου κατασπάσασα ραγδαίως

ὑποβρύχιον ποιῆσαι καὶ καταποντώσειέ με·
Ἔνθα δὴ αἱ μὲν κολάσεις οὔ ποτ᾽ ἐξαλείψουσί γε
τὰς πολλάς μου ἁμαρτίας, αἱ ἐμαὶ δὲ ἁμαρτίαι
κατακλείσουσι τελείως καὶ ἐπικαθέξουσί γε
τὰς κολάσεις τὰς ἐν Ἅδου.

—

Ὢ τάλας! τίνι ἥμαρτον; » Ποῦ πορευθῶ παντέφορε
ἀπὸ τοῦ πνεύματος τοῦ σοῦ, καὶ ἀπὸ τοῦ προσώπου
[σου
ποῦ φύγω ὁ ταλαίπωρος; Πάντως γὰρ δήπου, Κύριε,
φυγόντ᾽ ἀφρόνως ἀπὸ σοῦ καὶ κατακρύψαντ᾽ ἐ-
[μαυτὸν
ἐν τῇ Ἀβύσσῳ τῇ ἐμῇ, Ἀβύσσῳ τῶν ἀνομιῶν,
κἀκεῖσε ἐπιδέρκῃ με.
Τίς γὰρ καὶ νῦν (εἰ μὴ σύ γε) ἐπὶ τὸ ἀντερείσασθαι
καὶ μὴ ἐνδοῦναι παντελῶς τοῖς κατασχοῦσί με κακοῖς,
ἀλλὰ γνωσιμαχῆσαί τε καὶ μεταμεληθῆναί με
κινήσας μου ἐνήγαγε τὴν παναθλίαν μου ψυχήν;
Πανάγαθέ μου Κύριε, σὺ ἔκρουσάς μου τῇ ψυχῇ
καὶ σὺ ἀφύπνισας αὐτὴν ἐν τῇ Ἀβύσσῳ τῶν αὐτῆς
παραπτωμάτων Κύριε, ἐν κλίνῃ πως καθεύδουσαν·
Σὺ δὲ συνέσεισας αὐτὴν Θεὲ ἐπιναρκήσασαν.
Σὺ βίᾳ ἐπετάχυνας ῥαστώνῃ ὁμιλήσασαν
καὶ ἀμελοῦσαν ἐντελῶς.
Σὺ μεταγνῶναί με ταχύ, φιλάνθρωπε, ἐποίησας
καὶ ἀηδῆσαι οἷς περ πρὶν ἐνήδετό μου ἡ ψυχή,
ἀνιαθῆναί τ᾽ ἐπ᾽ αὐτοῖς οἷς ἐνετρύφα πρότερον.
Κύριε ἀπειράγαθε, Σὺ ταῦτα πάντα ἔδρασας


ἐν τῇ Ἀβύσσῳ τῇ πολλῇ· ἐπάκουσόν μου τοιγαροῦν
τοῦ κεκραγότος νῦν πρὸς Σὲ ἐκ τῆς Ἀβύσσου τῶν
[ἐμῶν
ἀπείρων μου ἀνομιῶν. Οὐκ ἀποκρύπτω ἀπὸ Σοῦ
Θεὲ τὰς ἀνομίας μου, οὐδὲ ἀπολογοῦμαι νῦν
ἐνώπιόν σου ἀγαθέ, ἀλλὰ ἐν παρρησίᾳ νῦν
ἀποκαλύπτω σοι αὐτάς. Οὐκ ἔμοι γε συνηγορῶν
ἀλλ᾽ ἐμαυτοῦ κατηγορῶν. Σοῦ ἔναντι παρίσταμαι
αὐτὸς ἐγὼ ὁ ἔνοχος, ἐγὼ καὶ ὁ κατήγορος
ὁ ἐμαυτοῦ κατηγορῶν. Μὴ Σύ γε ἐξελέγξῃς με
ὁ ποιητής, ὁ κτίστης μου. μόνος ἐγὼ ἐξήρκεσα
ἐξαμαρτῆσαι, Κύριε, μόνος ἀρκέσω ἐμαυτοῦ
καὶ καταιτιάσασθαι, μόνος ἐλέγξαι ἐμαυτὸν
μόνος μετανοῆσαί τε.

—

ΚΕΦΑΛΑΙΟΝ Ι'.


Διάθεσις μετανοοῦντος

Ἀλλ᾽ ἄρα πόθεν, ὦ Θεέ, ἔσται μοι ἐπανόρθωσις
τοῦ πλήθους τῶν πταισμάτων μου;
ὁπόθεν ἡ πρὸς Σέ μου δὲ ἔσται ἱκανοποίησις
τῶν τόσων τηλικούτων τε δεινῶν ἀθεμιτουργιῶν
καὶ αἰσχροτήτων φοβερῶν;
Κατάβαλε λοιπὸν σαυτόν, ὦ ἀνθρωπάριον οἰκτρόν,
εἰς βάθος ταπεινώθητι ἀμέτρου ἀθυμίας σου·



ὃ καταρράξας σεαυτὸν ἑκὼν ἐπὶ τὸ βάραθρον
τῆς ἀνομίας τὸ φρικτόν, κέχωσο ἄνθρωπε πτωχὲ
ὑπὸ τῷ ὄγκῳ θλίψεως ὁ εἰς τὸν βόρβορον αὐτὸν
τῆς δυσωδίας τῶν παθῶν ἀσμένως ἐκτραχηλισθείς.
Διάτριβε ταλαίπωρε ἐν ζόφῳ τοῦ ὀλοφυρμοῦ
τοῦ μηδεμίαν ἔχοντος παραμυθίαν πώποτε,
ὁ ἐθελήμως ἐν αὐτῷ τῷ χάσματι τῷ φοβερῷ
ριφθεὶς ἐξ ἀφροσύνης σου.
Ἅδου δὲ κεκύλισο ἀεὶ περιδινούμενος
ἐν θλίψει καὶ πικρίᾳ τε πολλῇ καὶ ἀφορήτῳ τε
ὁ ἐντρυφήσας διαρκῶς ἐν τῇ κυλίστρᾳ τῶν αἰσχρῶν
καὶ πάσης βδελυρότητος.
φόβος καὶ τρόμος ἔλθετε, ἐκδειματώσεις φέρουσαι
φρίκην μοὶ ἐπαθροίσθητε, ὀδύναι τε οὐκ ἔχουσαι
παραμυθίαν οὐδαμῶς·
μοὶ ἐπιδράμετε ὑμεῖς νῦν πᾶσαν ἐπιβρίσατε
δράξασθε, ἐπιδράξατε ἐπικατάσχετε ἐμὲ
δίκαιόν ἐστι δίκαιον στρεβλοῦται δὶς τὸν ἔνοχον
καὶ ἐπαμίνατε Θεῷ.
Νῦν προαισθέσθω ὁ μοιχὸς τοῦ Ἅδου τῶν κολάσεων,
ὧν οὗτος ἄξιός ἐστιν· ἀπογευσάσθω πρότερον,
ὧν προητοίμασεν αὐτῷ
πιέτω τὸ ποτήριον ὃ προητοίμασεν αὐτῷ
τουντεῦθεν ἐθισθήτω δὴ ὃ πείσεται τὸ ὕστερον·
παραμυθίαν οὔ τινα οὐ θυμηδίαν οἱανοῦν,
οὐ ρῶσιν οὐ φαιδρότητα οὐκ εὐφροσύνην βούλομαι·
οὐ θέλω οὐδ᾽ ἐκδέχομαι ὑμᾶς ἢν μὴ μοὶ ἔλθητε
διὰ προηγηθείσης μοι συγγνώμης ὧν ἐξήμαρτον.

Μακρὰν ἐμοῦ ἀποστῆτε πρὸ τοῦ θανάτου ἅπαντα,
εἰ μὴ πρὸ τοῦ θανάτου μου ὑμᾶς ἀνακαλέσηται
ἡ ἄφεσις παρὰ Θεοῦ τῶν ἐπταισμένων ὑπ᾽ ἐμοῦ.
Οὐκ ἔστιν ὅλως δυνατὸν μὴ κλαῦσαι τὸν ἁμαρτωλὸν
ἢ ἐν τῷ βίῳ τουτωΐ ἢ κλαῦσαι ἐν τῷ μέλλοντι.
Ἐν τούτῳ τοίνυν ἔστω μοι τῷ βίῳ ἡ μετάνοια
πικρὸς συνοδοιπόρος μου· καὶ κατεσχέτω ἄλγος με
διηνεκὲς ἀκόρεστον ἐν πάσαις ταῖς ἡμέραις μου
Ἡ ἀθυμία, λύπη τε καὶ ἄπαυστος ὀλοφυρμὸς
οἱ δήμιοί μου ἔστωσαν καὶ οἱ δεινοὶ βασανισταί,
νεότητος καὶ γήρους μου. Ὄφελον οὕτω εἴημοι
ὡς εὔχομαί τε καὶ ποθῶ, ἵνα μοὶ οὕτω γένηται!
Εἰ ἄξιος γὰρ οὐκ εἰμὶ ἐπᾶραί μου τοὺς ὀφθαλμοὺς
εἰς Οὐρανὸν καὶ δέεσθαι ἐνώπιον Σοῦ τοῦ Θεοῦ,
ἀλλ᾽ οὐκ ἀνάξιός εἰμι τοῦ κλαίειν καὶ ἐν ὀδυρμοῖς
δακρύων ἀποσβέσαι μου τοὺς ὀφθαλμοὺς τοὺς πταί-
[σαντας.
Εἰ δὴ ὑπὸ αἰσχύνης δὲ τοῦ συνειδότος τοῦ ἐμοῦ
ὁ νοῦς συγκέχυται πολύ, ἀλλ᾽ ἔστιν εὔλογον τὸν νοῦν
ἐπιεικῶς ταράσσεσθαι ὑπὸ τῆς λύπης τῆς πικρᾶς
καὶ τοῦ θρηνώδους λαίλαπος δεινῶς αὐτὸν συγχέεσθαι.
Καὶ εἴπερ πτήσσει ἔνοχος πρὸ βήματος τοῦ φοβεροῦ
στῆναι ἐνώπιον κριτοῦ Κυρίου τοῦ Θεοῦ αὐτοῦ,
δίκαιον καὶ πρὸ ὀφθαλμῶν ἔχειν ἀεὶ τὰ τῆς αὐτοῦ
κακίας κολαστήρια.



ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

Ἱκετήριος ἐκλιπάρησις τῆς παρὰ τοῦ πανοικτίρμονος Θεοῦ εὐσπλαγχνίας

*Μνήσθητι ὁ πανοικτίρμων δίκαιός τε Θεὸς ἅμα,
μνήσθητι ὡς ἐλεήμων καὶ φιλάνθρωπος ὑπάρχεις,
ὁ ἐμὸς Θεὸς καὶ πλάστης· καὶ εἰ δικαστὴς ὑπάρχεις
τὸν παράνομον δικάσαι τὸν πρός Σὲ ἡμαρτηκότα;
ἀλλὰ Κύριός τε πέλεις τῷ σῷ δούλῳ ἐπαμῦναι
καὶ δημιουργὸς καὶ κτίστης ὥστε καὶ διατηρῆσαι
τῶν χειρῶν τῶν σῶν τὸ ἔργον· καὶ Θεὸς ὡς διασῶσαι
τὸν εἰς Σὲ πεπιστευκότα καὶ σοὶ Υἱοθετηθέντα,
χάριτι τοῦ βαπτισμοῦ σου. Μὴ δὴ τοίνυν, Κύριέ μου
ὑπεράγαθε Θεέ μου, μὴ μνησθῇς δὴ τῆς Σῆς μόνης
θείας σου δικαιοσύνης κατὰ τοῦ ἡμαρτηκότος,
ἀλλὰ ἐπιμνήσθητι τε τῆς πολλῆς χρηστότητός σου
πρὸς τὸ πλάσμα τῶν χειρῶν σου.
Μὴ δὴ τῆς ὀργῆς μνησθῇς σου μόνον ἐπὶ τοῦ ἀνόμου,
ἀλλὰ ἐπιμνήσθητι τε καὶ τοῦ οἴκτου σου τοῦ θείου
ἐπὶ τοῦ κατεγνωσμένου.
Οἶδα μὲν ἐγώ, ναὶ Οἶδα, ἐκ τῆς συνειδήσεώς μου
καὶ ὁμολογῶ, Θεέ μου, ὅτι ἄξιος τυγχάνω
κατακρίσεως δικαίας, οὐδὲ ὅλως ἐξαρκεῖ μοι
φεῦ καὶ μεταμέλειά μου πρὸς ἱκανοποίησίν σου.
Αὐτὸς νῦν ὦ Πανάγαθε καὶ Πανοικτίρμον Δέσποτα,
ὃς εἶ ἡ σωτηρία μου, αὐτός με κατὰ σεαυτὸν*

*σῶσον ὡς παντοδύναμος. Ὁ μηδαμῶς τὸν θάνατον
ἐθέλων τοῦ ἁμαρτωλοῦ φεῖσαί μου, Σῶτερ, τῆς ψυ-
[χῆς
τῆς πολυαμαρτήτου μου.
Εἰς Σὲ γὰρ ἀνατίθημι τὴν ἅπασαν ἐλπίδα μου,
Σοὶ ὅλην παρατίθημι τὴν πανάθλιον μου ψυχήν.
ἐν ᾧ καθεύδω φύλαττε, φρούρει αὐτὴν δ' ἀγρυπνῶ.
καὶ ἐπισκέπτου Σὺ αὐτῆς ἐν ᾧ περί τι οἱονοῦν
τυγχάνω ἐργαζόμενος ἢ πῶς ἐνασχολούμενος.
Ἐν ᾧ δ' ἐπιλανθάνομαι ταύτης ἐγὼ ὁλοτελῶς,
μὴ ἐπιλάθου Σὺ αὐτῆς· ἐγώ εἰμι ἁμαρτωλός,
ἐλεεινὸς καὶ ἄθλιος, ἀλλ' ἀνιῶμαι ὅτι Σοὶ
τῷ ποιητῇ μου ἥμαρτον· ἐπιγινώσκω συνορῶν
ἐμοῦ τὴν ἀθλιότητα. Ὦ Πανοικτίρμον Κύρις,
ταπεινωθέντα Οἴκτιρον! Τὸ ἁμαρτεῖν οὐδὲν ἐστιν
ἀλλ' ἢ ὑβρίζειν εἰς θεόν, ὅπερ ἀθέμιτόν ἐστιν
ποιεῖν ἀνθρώπῳ λογικῷ, καὶ ἂν δὲ ᾖ ἐπάναγκες,
πᾶν ὅ,τι οὐκ ἔστι θεός, ὀλέσθαι τοῦτο ἐς ἀεί.
Οἴμοι δή, οἴμοί! ἥμαρτον! εἰς τὸν Θεὸν ἐξύβρισα,
τὸν Κύριον παρώξυνα τὸν ἅπαντα δυνάμενον.
Φεῦ ὁ ἁμαρτωλὸς ἐγὼ τί τοῦτο ὃ ἐποίησα;
τίνα οὐ διετέλεσα πράξας ἐγὼ ἀθέμιτα;
Οὐαὶ τῷ πράσσοντι κακά! Οὐαὶ τῷ ἀμελοῦντι δὲ
τῶν πράξεων τῶν ἀγαθῶν. Οὐαί! Οὐαί μοι! τῷ
[οἰκτρῷ
ἢ ἐν παροργισμῷ αὐτοῦ ἐνσκήψει γέ μοι ὁ Θεὸς
ὁ κατὰ πάντα ἰσχυρός;
Ὦ ἡ ὀργὴ τοῦ δικαστοῦ Παντοδυνάμου τε Θεοῦ*

πῶς χώραν ἕξεις ἐν ἐμοί; Οὐκ ἔστιν ὅλῳ ἐν ἐμοὶ
ὅ,τι πέριξ ἂν ὑποστῇ καὶ ὑπομείνῃ σου Θεέ.

—

Ὁ Θεὸς Σὺ ὁ Θεός μου οὗτινος ἡ ἀγαθότης
ἀνεξάντλητος ὑπάρχει, οὗτινος ἡ εὐσπλαγχνία
ἀνεξάντλητος ὑπάρχει, οὗτινός τε ἡ σοφία
ὑπὲρ ἔννοιαν ὑπάρχει καὶ ὑπερτελὴς ὡς σφόδρα.
οὗ τὸ κράτος ἐκπεραίνει ὅπου ἐὰν βουληθείη,
πόθεν ἔχοιμι ὁ τάλας ἀναπαῦσαι τὸ καθόλου,
ὁ διὰ τὰς ἁμαρτίας πέλων κατηναγκασμένος
ἀπεγνῶσθαι οὕτως σφόδρα; ἀλλὰ κἂν Σὺ ἐποργίζῃ
τοῖς προσπταίουσί σοι, Σῶτερ, ἀλλὰ καὶ τὰ δέοντά γε
τοῖς θερμῶς σε δυσωποῦσιν εὐμενῶς καθυποβάλλειν
ἀγαπᾷς, Θεὲ οἰκτίρμον.
Δίδαξόν με, Κύριέ μου, ὅθεν δέον μοι ἐλπίσαι
ὅπως ἂν καθικετεῦσαι ἔξω τὸν ποιήσαντά με.
Καὶ γὰρ θέλω μὲν ὁ τάλας ἱκετεῦσαι τὸν Θεόν μου
πλὴν δι' ἄνοιαν οὐκ οἶδα· διὰ δὲ τὴν περιοῦσαν
φεῦ σκληρότητα καρδίας οὐκ ἰσχύω ὁ παντλήμων.
ἐπὶ ταύτῃ τῇ σκληρίᾳ καὶ ἐπὶ τῇ ἀνομίᾳ
ἀπελπίζειν ἐξωθοῦμαι. Οἶδα καὶ ὁμολογῶ σοι
ὅτι ἐπαξίως πάσχω ὃ εἱλόμην ἐθελήμως·
καὶ οὐκ εἰσακούομαι δὲ παριστάμενος ἐν δίκῃ,
ὅτι οὐχ ὡς ὤφειλον φεῦ καὶ ὑπήκουσα ὁ τάλας.
Ὑπεράγαθε Θεέ μου! Δέσποτα καὶ ἥμαρτόν σοι,
ἐπλανήθην τῆς εὐθείας, ἀλλ' οὐδὲ ἀπέστερξά σε,
οὐδ' ἀπογινώσκω, Σῶτερ, τῆς πολλῆς σου εὐσπλαγ-
[χνίας.

Διὸ ποίησον, κριτά μου, κατὰ τὸ πολὺ καὶ μέγα
ἔλεός Σου, ἐλεῆμον. Ὁ εὐλογητὸς ὑπάρχων εἰς αἰῶ-
[νας τῶν αἰώνων. Ἀμήν.

Τέλος τοῦ περὶ συντριβῆς καρδίας

καὶ τῷ συντελεστῇ τῶν καλῶν δόξα.

—



Ὕμνος εἰς τὴν θείαν ἀγάπην. (1)

Ὦ θεία ἀγάπη ἐλθὲ ἱκετεύω
ἐξ ὅλης ψυχῆς μου καὶ μέσης καρδίας,
καὶ σκήνωμα θεῖον Χριστὲ ποίησόν με
καὶ πάσης κηλῖδος ὢ καθάρισόν με.

—

Ὦ θεία ἀγάπη, ἀγάπης ἐνθέου
τὴν Σὲ ἐκζητοῦσαν ψυχὴν ἔμπλησόν μου,
καὶ ἔρωτα θεῖον, ὢ θεία ἀγάπη,
θερμῶς ἱκετεύω, τῷ δούλῳ σου δός μοι.

—

Ὦ θεία ἀγάπη, τὴν Σὴν ἱκετεύω
ἀγάπην παράσχου τοῖς Σὲ ἐκζητοῦσιν.
Ἡ γὰρ Σὴ ἀγάπη τὸ πλήρωμά ἐστιν
τοῦ θείου Σου νόμου, ἀγάπη γλυκεῖα.

—

Ὦ θεία ἀγάπη ἡ μόνη πληροῦσα
τὸν σύμπαντα κόσμον καὶ ἡ συντηροῦσα,
Σὺ πέλεις ὁ νόμος τῶν ἐπουρανίων,
Σὺ πέλεις ὁ νόμος καὶ τῶν ἐπιγείων.

—

Ἡ Σὺ βασιλεία ἐστὶν ἡ ἀγάπη
ἐν ᾗ βασιλεύει χαρὰ καὶ εἰρήνη,
ἐν ᾗ βασιλεύει ἡ μακαριότης,
ὁ ἔρως τοῦ θείου καὶ ἡ εὐφροσύνη.

(1) Ἐποιήθη ὑφ' ἡμῶν.

